Et respondens † Iesus, dixit ei: Beatus
καὶ ἀποκριθεὶς ὁ ἰησοῦς, εἶπεν αὐτῷ, μακάριος 17

† autem

es Simon Bar iona, quia caro & sanguis non reue-
εἶ σίμων βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπε-
lauit tibi, sed Pater meus qui in cælis ‡.
κάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς.

‡ est

Et ego autem tibi dico, quia tu es Petrus, & super
κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ πέτρος, καὶ ἐπὶ 18
hanc petram ædificabo meam eccle-
ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλη-
siam: & portæ inferi non præualebunt § ei.
σίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.

§ aduersus eam.

Et dabo tibi claues regni cælorum.
καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν· 19
Et quodcumque ligaueris super terram, erit ligatum ‖ in
καὶ ὃ ἐὰν * δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν

‖ & * δέω

cælis: & quodcumq; solueris super terram, erit so-
τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λε-
lutum ‖ in cælis. Tunc præcepit
λυμένον ἐν τοῖς οὐρανοῖς. τότε διεστείλατο τοῖς 20
discipulis suis, vt nemini dicerent quia ipse esset
μαθηταῖς αὐτοῦ, ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν
Iesus Christus. † Ex tunc cœpit Iesus osten-
ἰησοῦς ὁ χριστός. ἀπὸ τότε ἤρξατο ὁ ἰησοῦς δει- 21

† Exinde

dere discipulis suis, quia oporteret eum abire
κνύειν τοῖς μαθηταῖς αὐτοῦ, ὅτι δεῖ αὐτὸν ἀπελθεῖν
in Hierosolymam, & multa pati à
εἰς ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν
Senioribus, & principibus Sacerdotū, & Scribis,
πρεσβυτέρων, καὶ ἀρχιερέων, καὶ γραμματέων,

& occidi, & tertia die †excitari.
καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.
Et assumens eum Petrus, cœpit in-
καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐ- 22
crepare illum, dicens: *Clemens tibi Domine: non erit
πιτιμᾶν αὐτῷ, λέγων, ἵλεώς σοι κύριε, οὐ μὴ ἔσται
tibi hoc. ‡Is verò conuersus, dixit Petro: Va-
σοι τοῦτο. ὁ δὲ στραφεὶς εἶπε τῷ Πέτρῳ, ὕπα- 23
de post me Satana. scandalum mihi es: quia non
γε ὀπίσω μου σατανᾶ, σκάνδαλόν μου εἶ· ὅτι οὐ
sapis ea quæ Dei ‡, sed ea quæ hominum.
φρονεῖς τὰ τοῦ θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.
Tunc Iesus dixit discipulis suis, Si quis
τότε ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ, εἴ τις 24
vult post me venire, abneget semetipsum, &
θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ
tollat crucem suam, & sequatur me.
ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.
Qui enim voluerit animam suam *seruare, per-
ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπο- 25
det eam: qui autem perdiderit animam suam
λέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ
propter me, inueniet eam. Quid enim ‡iuuatur
ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. τί γὰρ ὠφελεῖται 26
homo, si mundum vniuersum lucretur, *at
ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ
animam suam mulctetur? Aut quam dabit homo †per-
ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀν-
mutationem animæ suæ? Futurus est enim Filius
τάλλαγμα τῆς ψυχῆς αὐτοῦ; μέλλει γὰρ ὁ υἱὸς τοῦ 27
hominis *venire in gloria Patris sui cum
ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ
angelis suis: & tunc reddet vnicuique secundum
τῶν ἀγγέλων αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ
‡actionem eius. Amen dico vobis, sunt quidam
τὴν πρᾶξιν αὐτοῦ. ἀμὴν λέγω ὑμῖν, εἰσί τινες 28
‡hic stantium, qui non gustabunt mor-
τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανά-
tem, donec videant Filium hominis venientem
του, ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον
in regno suo.
ἐν τῇ βασιλείᾳ αὐτοῦ.

(Margin: ‡resurgere. *ἀποκτείνομαι — *Absit à te, — ‡Qui — ‡sunt, — *saluam facere — ‡prodest homini — *animæ verò suæ detrimētū patiatur? †cōmutatione pro anima sua? — *venturus est — ‡opera — ‡de hic stantibus)

CAP. XVII. ιζ.

Et post dies sex assumit Iesus
ΚΑὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν 1
Petrum, & Iacobum, & Ioannem fratrem eius:
Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ,
& ducit illos in montem excelsum *priuatim:
καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν.
Et transfiguratus est ante eos: & re-
καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν· καὶ ἔ- 2
splenduit facies eius sicut Sol, at ve-
λαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱ-
stimenta ‖eius facta sunt *candida vt lux. Et ecce
μάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. καὶ ἰδοὺ 3
apparuerunt illis Moyses & Elias, cum eo col-
ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας, μετ' αὐτοῦ συλ-
loquentes. Respondens autem Petrus, dixit
λαλοῦντες. ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπε τῷ 4
†Iesu: Domine, *pulchrum est nos hic esse: si vis,
Ἰησοῦ, κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις,
faciamus hic tria ‡vmbracula, tibi vnum, & Moy-
ποιήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν, καὶ Μω-
si vnum, & vnum Eliæ. Adhuc eo loquente,
σῇ μίαν, καὶ μίαν Ἠλίᾳ. ἔτι αὐτοῦ λαλοῦντος, 5
ecce nubes lucida obumbrauit eos. Et ecce
ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς. καὶ ἰδοὺ
vox de nube, dicens: Hic est filius
φωνὴ ἐκ τῆς νεφέλης λέγουσα, οὗτός ἐστιν ὁ υἱός
meus dilectus, in quo ‡bene acquieui: ipsum audite.
μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε.

(Margin: ‖autem *alba sicut nix — ‡ad Iesum: *bonum — ‡tabernacula, — ‡mihi bene cōplacuit)

Et audientes discipuli, ceciderunt in fa-
6 καὶ ἀκούσαντες οἱ μαθηταί, ἔπεσον ἐπὶ πρόσ-
ciem suam, & timuerunt valde. Et *ac-
7 ωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα. καὶ προσ-
cedens Iesus, ‖tetigit eos, *& ait: Surgite,
ελθὼν ὁ Ἰησοῦς, ἥψατο αὐτῶν, καὶ εἶπεν, ἐγέρθητε,
& †ne metuite. Leuantes autem ocu-
8 καὶ μὴ φοβεῖσθε. ἐπάραντες δὲ τοὺς ὀφθαλ-
los suos, neminem viderunt, *si non Iesum so-
μοὺς αὐτῶν, οὐδένα εἶδον, εἰ μὴ τὸν Ἰησοῦν μό-
lum. Et descendentibus illis de monte,
9 νον. καὶ καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους,
præcepit illis Iesus, dicens: Nemini dixeri-
ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων, μηδενὶ εἴπη-
tis visionem, donec filius hominis à mor-
τε τὸ ὅραμα, ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νε-
tuis resurgat. Et interrogauerunt eum discipuli
10 κρῶν ἀναστῇ. καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ
eius, dicentes: Quid ergo Scribæ dicunt, quòd
αὐτοῦ λέγοντες, τί οὖν οἱ γραμματεῖς λέγουσιν, ὅτι
Eliam oporteat venire primùm? At ‡Iesus, respon-
11 ἠλίαν δεῖ ἐλθεῖν πρῶτον; ὁ δὲ Ἰησοῦς ἀποκρι-
dens, ait eis: Elias quidem †venit primùm, &
θεὶς, εἶπεν αὐτοῖς, ἠλίας μὲν ἔρχεται πρῶτον, καὶ
instaurabit omnia. Dico autem vobis, quia E-
12 ἀποκαταστήσει πάντα. λέγω δὲ ὑμῖν, ὅτι ἠ-
lias iam venit, & non cognouerunt eum: sed fe-
λίας ἤδη ἦλθε, καὶ οὐκ ἐπέγνωσαν αὐτόν, ἀλλ' ἐ-
cerunt in eo quæcumque voluerunt. Sic & filius
ποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν· οὕτω καὶ ὁ υἱὸς τοῦ
hominis *futurus est pati ab eis. Tunc
13 ἀνθρώπου μέλλει πάσχειν ὑπ' αὐτῶν. τότε
intellexerunt discipuli, quia de Ioanne Ba-
συνῆκαν οἱ μαθηταί, ὅτι περὶ Ἰωάννου τοῦ βα-
ptista ‡dixit eis. Et *venientibus eis ad
14 πτιστοῦ εἶπεν αὐτοῖς. καὶ ἐλθόντων αὐτῶν πρὸς
turbam, accessit ad eum homo †genuspe-
τὸν ὄχλον, προσῆλθεν αὐτῷ ἄνθρωπος γονυπε-
tens ipsum, Et dicens: Domine, miserere meo
15 τῶν αὐτόν, καὶ λέγων, κύριε, ἐλέησόν μου τὸν
filio, quia lunaticus est & malè patitur. *Sæ-
υἱόν, ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει. πολλά-
pè enim cadit in ignem & crebrò in aquam.
κις γὰρ πίπτει εἰς τὸ πῦρ, καὶ πολλάκις εἰς τὸ ὕδωρ.
Et ‡attuli eum discipulis tuis,
16 καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου,
& non potuerunt eum curare.
καὶ οὐκ *ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι.
Respondens autem Iesus, ait: O generatio incre-
17 ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν, ὦ γενεὰ ἄπι-
dula & peruersa, ‡vsque quando ero cum vobis?
στος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι μεθ' ὑμῶν;
vsque quando tolerabo vos? *Ferte mihi illum huc.
ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετέ μοι αὐτὸν ὧδε.
Et increpauit illum Iesus: & exiit ab
18 καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐξῆλθεν ἀπ'
eo dæmonium: & curatus est puer ex
αὐτοῦ τὸ δαιμόνιον, καὶ *ἐθεραπεύθη ὁ παῖς ἀπὸ
hora illa. Tunc ‡accedentes disci-
19 τῆς ὥρας ἐκείνης. τότε προσελθόντες οἱ μα-
puli *Iesu priuatim, dixerũt: †Propter quid nos non
θηταὶ τῷ Ἰησοῦ κατ' ἰδίαν, εἶπον, διὰ τί ἡμεῖς οὐκ
potuimus eiicere illum? At Iesus dixit
20 ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; ὁ δὲ Ἰησοῦς εἶπεν
illis: Propter incredulitatem vestram. Amen quippe dico vo-
αὐτοῖς, διὰ τὴν ἀπιστίαν ὑμῶν. ἀμὴν γὰρ λέγω ὑ-
bis, si habueritis fidem sicut granum sinapis, *denuncia-
μῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖ-
bitis monti huic, Transi hinc illuc, &
τε τῷ ὄρει τούτῳ, μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ
transibit: & nihil impossibile erit vobis.
μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν.

(Margin: *accedens — ‖& dixitque eis: †nolite timere — *nisi — ‡ille — †venturus est, & restituet — *passurus est — ‡dixisset *quum venisset †genibus prouolutus ante eum, — *Nam — ‡obtuli — *δύναμαι — ‡quousq; ero vobiscū? vsque quo patiar *Afferte huc illum ad me. — *θεραπεύομαι — ‡accesserunt ad Iesum secreto, & †Quare — *dicetis)

τοῦτο

Hoc autem genus non eiicitur, † si non in
τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν 21
oratione & ieiunio. Versantibus autem eis
προσευχῇ καὶ νηστείᾳ. ἀναστρεφομένων δὲ αὐτῶν 22
in Galilæa, dixit illis Iesus: Futurus est Filius
ἐν τῇ Γαλιλαίᾳ, εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, μέλλει ὁ υἱὸς
hominis * tradi in manus homi-
τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώ-
num. Et occident eum, & tertia
πων· καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ 23
die † excitabitur. Et contristati sunt vehementer.
ἡμέρᾳ ἐγερθήσεται. καὶ ἐλυπήθησαν σφόδρα.
§ Venientibus autem illis in Capernaum, accesse-
ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναούμ, προσῆλ- 24
runt * didrachma ‖ sumentes Petro,
θον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ,
& dixerunt †: Magister vester non soluit didrach-
καὶ εἶπον, ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχ-
ma? Ait, Etiam. Et quum intrasset in domum,
μα; λέγει, ναί. καὶ ὅτε εἰσῆλθεν εἰς τὴν οἰκίαν, 25
præuenit eum Iesus, dicens: Quid tibi videtur,
προέφθασεν αὐτὸν ὁ Ἰησοῦς, λέγων, τί σοι δοκεῖ,
Simon? reges terræ à quibus accipiunt
Σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι
* tributa vel censum? à filiis suis, an ab
τέλη, ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν
alienis? § Dicit ei Petrus: Ab alie-
ἀλλοτρίων; λέγει αὐτῷ ὁ Πέτρος, ἀπὸ τῶν ἀλλο- 26
nis. Dixit illi Iesus. Ergo liberi sunt
τρίων. ἔφη αὐτῷ ὁ Ἰησοῦς, ἄραγε ἐλεύθεροί εἰσιν
filij. Vt autem non scandalizemus eos, § Va-
οἱ υἱοί. ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευ- 27
dens ad mare, * mitte hamum: &
θεὶς εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν
‖ ascendentem primùm piscem, tolle: & † aperiens
ἀναβαίνοντα πρῶτον ἰχθὺν ἆρον· καὶ ἀνοίξας τὸ
os eius, inuenies staterem: illum sumens, da
στόμα αὐτοῦ, εὑρήσεις στατῆρα. ἐκεῖνον λαβὼν, δὸς
eis pro me & te.
αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.

† nisi per orationẽ & ieiuniũ. Conuersantibus
* tradendus est
‡ resurget.
§ Et quum venissent Capharnaum,
* qui
‖ accipiebát ad Petrum,
† ei:
* φθάνω
* tributum
§ Et ille dixit
§ vade
* &
‖ & piscem qui primus ascẽderit,
† aperto ore

CAP. XVIII.

In illa hora accesserunt discipuli
ΕΝ ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ 1
* Iesu, dicentes: Quis § nam maior est in
τῷ Ἰησοῦ, λέγοντες, τίς ἄρα μείζων ἐστὶν ἐν τῇ
regno cælorum. Et aduocans
βασιλείᾳ τῶν οὐρανῶν; καὶ προσκαλεσάμενος 2
Iesus § puerulum, statuit eum in medio eorum.
ὁ Ἰησοῦς παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν.
Et dixit, Amen dico vobis, * si non cõuersi fueritis,
καὶ εἶπεν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε, 3
& efficiamini sicut ‖ pueruli, nequaquam intrabitis in
καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν
regnum cælorum. Quicumq; ergo humiliauerit
βασιλείαν τῶν οὐρανῶν. ὅστις οὖν ταπεινώσῃ 4
seipsum † vt puerulus iste, hic est maior in
ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν
regno cælorum. Et qui susceperit
τῇ βασιλείᾳ τῶν οὐρανῶν. καὶ ὃς ἐὰν δέξηται 5
* puerulum talem vnum in nomine meo, me su-
παιδίον τοιοῦτον ἓν ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέ-
scipit: Qui autem scandalizauerit vnum § paruorum ho-
χεται. ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τού- 6
rum credentium in me, confert ei vt
των τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ ἵνα
suspendatur mola asinaria in collo eius,
κρεμασθῇ μύλος ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτοῦ,
& demergatur in § pelago maris.
καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης.
Væ mundo à scandalis. Necesse
οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων. ἀνάγκη 7

* ad Iesum,
§ putas,
§ paruulum,
* nisi
‖ paruuli, non
† sicut paruulus
* paruulũ
§ de pusillis istis qui in me credunt, expedit
§ profundum

enim est * venire scandala: verumtamen væ ho-
γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα. πλὴν οὐαὶ τῷ ἀν-
mini illi per quem scandalum venit.
θρώπῳ ἐκείνῳ δι' οὗ τὸ σκάνδαλον ἔρχεται.
Si autem manus tua, vel pes tuus scandalizat te,
8 εἰ δὲ ἡ χείρ σου, ἢ ὁ πούς σου σκανδαλίζει σε,
abscinde ‖ eos, & iace abs te: † pulchrum tibi est
ἔκκοψον αὐτὰ, καὶ βάλε ἀπὸ σοῦ. καλόν σοι ἐστὶν
ingredi ad vitam claudum, vel mancum, quàm duas manus
εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ κυλλόν, ἢ δύο χεῖρας
vel duos pedes habentem, † iaci in ignem æter-
ἢ δύο πόδας ἔχοντα, βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώ-
num. Et si oculus tuus scandalizat te,
9 νιον. καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε,
erue eum, & § iace abs te: * pulchrum tibi est ‖ vno-
ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ. καλόν σοι ἐστὶ μονόφ-
culum in vitam intrare, quàm duos oculos
θαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύο ὀφθαλμοὺς
habentem † iaci in gehennam ignis.
ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός.
* Attendite ne despiciatis vnum paruulorum
10 ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν
horum: dico enim vobis, quia angeli eorum in cæ-
τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρα-
lis ‡ per omne [illegible] faciem Pa-
νοῖς διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πα-
tris mei qui in cælis §. Venit enim Filius ho-
11 τρός μου τοῦ ἐν οὐρανοῖς. ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀν-
minis saluare * perditum. Quid vobis videtur?
12 θρώπου σῶσαι τὸ ἀπολωλός. τί ὑμῖν δοκεῖ;
si fuerint alicui homini centum oues, &
ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ
errauerit vna ex eis, nonne ‖ relinquens nonaginta
πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς τὰ ἐννενηκον-
nouem in montibus, † vadens quærit erran-
ταεννέα ἐπὶ τὰ ὄρη, πορευθεὶς ζητεῖ τὸ πλανώ-
tem? Et si * fiat vt inueniat eam, amen dico vo-
13 μενον; καὶ ἐὰν γένηται εὑρεῖν αὐτὸ, ἀμὴν λέγω ὑ-
bis, quia gaudet super eam magis, quàm super nona-
μῖν, ὅτι χαίρει ἐπ' αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐννενή-
ginta nouem ‡ non aberrantibus. Sic non
14 κοντα ἐννέα τοῖς μὴ πεπλανημένοις. οὕτως οὐκ
est voluntas ante Patrem vestrum qui in
ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν τοῦ ἐν
cælis §, vt pereat vnus * paruulorum horum. Si
15 οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. ἐὰν
autem peccauerit in te frater tuus, vade, & corri-
δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, καὶ ἔλεγ-
pe eum inter te & ipsum solum. Si te audierit,
ξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἐάν σου ἀκούσῃ,
lucratus eris fratrem tuum. Si autem ‖ non audierit,
16 ἐκέρδησας τὸν ἀδελφόν σου. ἐὰν δὲ μὴ ἀκούσῃ,
† assume tecum adhuc vnũ vel duos, vt in o-
παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στό-
re duorum testium vel trium stet omne verbum.
ματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα.
* Si autem neglexerit eos, dic ecclesiæ:
17 ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ·
si autem & ecclesiam † neglexerit, sit tibi sicut
ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ
ethnicus & publicanus. Amen dico vobis, quæcũq;
18 ὁ ἐθνικὸς καὶ ὁ τελώνης. ἀμὴν λέγω ὑμῖν, ὅσα
alligaueritis super terram, erunt ligata § in cæ-
ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρα-
lo: & quæcumq; solueritis super terram, erunt soluta
νῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα
§ in cælo. Iterum dico vobis, quia si duo
19 ἐν τῷ οὐρανῷ. πάλιν λέγω ὑμῖν, ὅτι ἐὰν δύο
* vestrum consenserint super terram de omni
ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς
re quamcumque petierint, fiet illis
πράγματος οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς

* vt veniant
‖ eum, & proiice
† bonum debilem,
† mitti
§ proiice
* bonum
‖ vnum oculum habentem
† mitti
* Videte ne cõtemnatis vnum ex his pusillis:
‡ semper vident
§ est.
* quod perierat.
‖ relinquit
† & vadit quærere eã quæ errauit;
* contigerit vt inueniat
‡ quæ non errauerũt.
§ est,
* de pusillis istis.
‖ te
† adhibe tecum
* Quòd si non audierit
† non audierit,
§ &
* ex vobis

à Patre meo qui in cælis † Vbi enim
παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. οὗ γάρ 20
sunt duo vel tres * coacti in meo nomine, ibi
εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ
sum in medio eorum. Tunc accedens ad eum
εἰμὶ ἐν μέσῳ αὐτῶν. τότε προσελθὼν αὐτῷ ὁ 21
Petrus, dixit, Domine, quoties peccabit in me
πέτρος, εἶπε, κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ
frater meus, & dimittam ei? vsque septies?
ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις;
Dicit illi Iesus: Non dico tibi, vsque septies,
λέγει αὐτῷ ὁ ἰησοῦς, οὐ λέγω σοι, ἕως ἑπτάκις, 22
sed vsque septuagies § septem. Propter hoc assi-
ἀλλ᾽ ἕως ἑβδομηκοντάκις ἑπτά. διὰ τοῦτο ὡ- 23
milatum est regnum cælorum homini re-
μοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βα-
gi, qui voluit § conferre rationem cum seruis
σιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων
suis. * Incipiente verò ipso conferre, obla-
αὐτοῦ. ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσ- 24
tus est ei vnus ‖ debitor decies mille talentorum,
ηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων.
† Non habente autem illo reddere, iussit eum
μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν 25
dominus eius venundari, & vxorem e-
ὁ κύριος αὐτοῦ πραθῆναι, καὶ τὴν γυναῖκα αὐ-
ius, & filios, & omnia quæ habebat, & red-
τοῦ, καὶ τὰ τέκνα, καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδο-
di. Procidens autem seruus *, adorabat eum,
θῆναι. πεσὼν οὖν ὁ δοῦλος, προσεκύνει αὐτῷ, 26
dicens: Domine, § longanimus esto erga me, & om-
λέγων, κύριε, μακροθύμησον ἐπ᾽ ἐμοί, καὶ πάν-
nia tibi reddam. § Commotus visceribus autem dominus
τά σοι ἀποδώσω. σπλαγχνισθεὶς δὲ ὁ κύριος 27
serui illius, * absoluit eum, & ‖ mutuum
τοῦ δούλου ἐκείνου, ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον
dimisit ei. Egressus autem seruus ille,
ἀφῆκεν αὐτῷ. ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος, 28
inuenit vnum † conseruorum suorum, qui debebat ei
εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ
centum denarios: & * apprehendens eum suffocabat, di-
ἑκατὸν δηνάρια, καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέ-
cens: Redde mihi ‖ si quid debes. § Procidens ergo con-
γων, ἀπόδος μοι εἴ τι ὀφείλεις. πεσὼν οὖν ὁ σύν- 29
seruus eius ad pedes eius, rogabat eum,
δουλος αὐτοῦ εἰς τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτόν,
dicens: * Longanimis esto in me, & omnia
λέγων, μακροθύμησον ἐπ᾽ ἐμοί, καὶ [πάντα]
reddam tibi. Ille autem noluit: sed ‖ ab-
ἀποδώσω σοι. ὁ δὲ οὐκ ἤθελεν, ἀλλὰ ἀπελ- 30
iens coniecit eum in † custodiam, donec redderet
θὼν ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως οὗ ἀποδῷ τὸ
debitum. Videntes autem conserui eius
ὀφειλόμενον. ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ 31
* facta, contristati sunt valdè: & § venientes
γενόμενα, ἐλυπήθησαν σφόδρα, καὶ ἐλθόντες
declarauerunt domino suo omnia § fa-
διεσάφησαν τῷ κυρίῳ αὐτῶν πάντα τὰ γενό-
cta. Tunc * aduocans illum do-
μενα. τότε προσκαλεσάμενος αὐτὸν ὁ κύ- 32
minus suus, ‖ dicit illi: Serue nequam, omne
ριος αὐτοῦ, λέγει αὐτῷ, δοῦλε πονηρέ, πᾶσαν τὴν
debitum illud dimisi tibi, quoniam † aduoca-
ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλε-
sti me. Nonne * oportuit & te misereri conser-
σάς με. οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδου- 33
ui tui, sicut & ego tui misertus sum? Et iratus
λόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα; καὶ ὀργισθεὶς 34
dominus eius, tradidit eum tor-
ὁ κύριος αὐτοῦ, παρέδωκεν αὐτὸν τοῖς βα-
toribus, quoad vsque redderet vniuersum debi-
σανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμε-

† est
* congregati
§ septies. Ideo
§ ponere
* Et quum cœpisset rationem ponere
‖ qui debebat ei decē millia talenta:
† Quum autem nō haberet vnde redderet,
* ille
§ Patiētiā habe in
§ Misertus
* dimisit
‖ debitum
† de conseruis suis,
* tenens
‖ quod
§ Et
* Patientiā habe
‖ abiit, & misit
† carcerē,
* quæ fiebant,
§ venerūt, & narrauerunt
§ quæ facta fuerāt.
* vocauit
‖ & ait
† rogasti
* ergo

tum ei. Sic & Pater meus cæle-
νον αὐτῷ. οὕτω καὶ ὁ πατήρ μου ὁ ἐπουρά- 35
stis faciet vobis, si non remiseritis vnusquisque
νιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ
fratri suo de cordibus vestris la-
ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπ-
psus eorum.
τώματα αὐτῶν.

CAP. XIX. ιθ΄.

Et factum est quum consummâsset Iesus sermones
ΚΑὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ ἰησοῦς τοὺς λόγους 1
istos, § transtulit se à Galilæa, & venit in
τούτους, μετῆρεν ἀπὸ τῆς γαλιλαίας, καὶ ἦλθεν εἰς
fines Iudææ trans Iordanem. Et se-
τὰ ὅρια τῆς ἰουδαίας πέραν τοῦ ἰορδάνου. καὶ ἠκο- 2
quutæ sunt eum turbæ multæ, & curauit
λούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν
eos ibi. Et accesserunt ad eum Phari-
αὐτοὺς ἐκεῖ. καὶ προσῆλθον αὐτῷ οἱ φαρι- 3
sæi tentantes eum, & dicentes ei: Si
σαῖοι πειράζοντες αὐτόν, καὶ λέγοντες αὐτῷ, εἰ
licet homini § absoluere vxorem suam,
ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ
* iuxta omnem ‖ causam? Qui verò respondens ait eis:
κατὰ πᾶσαν αἰτίαν; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, 4
Non legistis, quia † faciens ab initio, masculum
οὐκ ἀνέγνωτε ὅτι ὁ ποιήσας ἀπ᾽ ἀρχῆς, ἄρσεν
& fœminam fecit eos?, Et dixit, Propter
καὶ θῆλυ ἐποίησεν αὐτούς; καὶ εἶπεν, ἕνεκεν 5
hoc dimittet homo patrem, &
τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα, καὶ
matrem, & adhærebit vxo-
τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναι-
ri suæ, & erunt duo in * carnem vnam:
κὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.
Itaq; § non amplius sunt duo, sed caro vna: Quod ergo
ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. ὃ οὖν ὁ 6
Deus coniunxit, homo non separet.
θεὸς * συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.
Dicunt illi: Quid ergo Moyses mandauit da-
λέγουσιν αὐτῷ, τί οὖν μωσῆς ἐνετείλατο δοῦ- 7
re libellum § desertionis & absoluere eam?
ναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι αὐτήν;
Ait illis, * Quòd Moyses ad duritiem
λέγει αὐτοῖς, ὅτι μωσῆς πρὸς τὴν σκληρο- 8
cordis vestri, permisit vobis ‖ absoluere
καρδίαν ὑμῶν, ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς
vxores vestras: ab initio autem non † factum est ita.
γυναῖκας ὑμῶν· ἀπ᾽ ἀρχῆς δὲ οὐ γέγονεν οὕτω.
Dico autem vobis: Quia quicumq; * absoluerit vxo-
λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖ- 9
rem suam, § non super fornicationē, & duxerit aliam, mœ-
κα αὐτοῦ, μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοι-
chatur: & § dimissam * ducens, mœchatur.
χᾶται· καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται.
Dicunt ei discipuli eius: Si ita est
λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, εἰ οὕτως ἐστὶν 10
causa hominis cum vxore, non ‖ con-
ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, οὐ συμ-
fert nubere. † Ille vero dixit illis: Non omnes ca-
φέρει γαμῆσαι. ὁ δὲ εἶπεν αὐτοῖς, οὐ πάντες χω- 11
piunt verbum istud, sed quibus datum est. Sunt enim
ροῦσι τὸν λόγον τοῦτον, ἀλλ᾽ οἷς δέδοται. εἰσὶ γὰρ 12
eunuchi, qui de vtero matris nati sunt
εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν
sic: & sunt eunuchi, qui * castrati sunt ab
οὕτω· καί εἰσιν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν
hominibus: & sunt eunuchi, qui castrauerunt se-
ἀνθρώπων· καί εἰσιν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυ-
ipsos propter regnum cælorum: § potens
τοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. ὁ δυνάμενος
χωρεῖν,

§ migrauit
§ dimittere
* quacumque ex causa;
† qui fecit hominem
* carne vna:
§ iam
* συνζεύγνυμι
§ repudij, & dimittere?
* Quoniā
‖ dimittere
† fuit sic.
* dimiserit
§ nisi ob fornicationem,
§ qui
* duxerit,
‖ expedit
† Qui
* facti
§ Qui potest

capere, capiat. Tunc oblati sunt ei
χωρεῖν, χωρείτω. τότε προσηνέχθησαν αὐτῷ 13
parvuli, vt manus imponeret eis. & o-
παιδία, ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς, καὶ προσ-
raret. At Discipuli increpabant eos. At
εύξηται· οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς. ὁ δὲ 14
Iesus vaut: Sinite pueros, & ne prohibete
Ἰησοῦς εἶπεν, ἄφετε τὰ παιδία, καὶ μὴ κωλύετε
eos venire ad me: nam talium est re-
αὐτὰ ἐλθεῖν πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βα-
gnum cælorum. Et imponens eis
σιλεία τῶν οὐρανῶν. καὶ ἐπιθεὶς αὐτοῖς τὰς 15
manus, abiit indè. Et ecce vnus ac-
χεῖρας, ἐπορεύθη ἐκεῖθεν. καὶ ἰδοὺ εἷς προσ- 16
cedens, ait illi: Magister bone, quid boni
ελθὼν, εἶπεν αὐτῷ, διδάσκαλε ἀγαθὲ, τί ἀγαθὸν
faciam, vt habeam vitam æternam? Ipse verò dixit ei:
ποιήσω, ἵνα ἔχω ζωὴν αἰώνιον; ὁ δὲ εἶπεν αὐτῷ, 17
Quid me dicis bonum? nemo bonus, si non vnus,
τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς,
Deus. Si autem vis ingredi ad vitam, ser-
ὁ θεός. εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τή-
ua mandata. Dicit illi, Quæ? At Ie-
ρησον τὰς ἐντολάς. λέγει αὐτῷ, ποίας; ὁ δὲ Ἰη- 18
sus dixit: hoc, Non occides, Non adulterabis, Non fura-
σοῦς εἶπε, τὸ, οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέ-
beris, Non falso testaberis. Honora patrem
ψεις, οὐ ψευδομαρτυρήσεις. τίμα τὸν πατέρα 19
tuum & matrem tuam: &, Diliges pro-
σου καὶ τὴν μητέρα σου· καὶ, ἀγαπήσεις τὸν πλη-
ximū tuum sicut teipsum. Dicit illi adolescens,
σίον σου ὡς σεαυτόν. λέγει αὐτῷ ὁ νεανίσκος, 20
Omnia hæc custodiui à iuuentute mea: quid
πάντα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου· τί
adhuc deficio? Ait illi Iesus, Si vis per-
ἔτι ὑστερῶ; ἔφη αὐτῷ ὁ Ἰησοῦς, εἰ θέλεις τέ- 21
fectus esse, vade, vende tuam substantiam, &
λειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ
da pauperibus: & habebis thesaurum in cælo: & ve-
δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦ-
ni, sequere me. Audiens autem adolescens
ρο ἀκολούθει μοι. ἀκούσας δὲ ὁ νεανίσκος τὸν 22
verbum, abiit tristis: erat enim habēs possessio-
λόγον, ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήμα-
nes multas. At Iesus dixit discipulis suis:
τα πολλά. ὁ δὲ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ, 23
Amen dico vobis, quia difficilè diues in-
ἀμὴν λέγω ὑμῖν, ὅτι δυσκόλως πλούσιος εἰσ-
trabit in regnum cælorum.
ελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
Iterum autem dico vobis, facilius est came-
πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν ἐστι κάμη- 24
lum per foramen acus transire, quàm diui-
λον διὰ τρυπήματος ῥαφίδος διελθεῖν, ἢ πλού-
tem in regnum Dei intrare. Au-
σιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. ἀκού- 25
dientes autem discipuli eius, mirabantur
σαντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἐξεπλήσσοντο
valdè, dicentes. Quis ergo potest seruari?
σφόδρα, λέγοντες, τίς ἄρα δύναται σωθῆναι;
Aspiciens autem Iesus, dixit illis, Apud ho-
ἐμβλέψας δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς, παρὰ ἀν- 26
mines hoc impossibile est, apud autem Deum omnia
θρώποις τοῦτο ἀδύνατόν ἐστι, παρὰ δὲ θεῷ πάντα
possibilia sunt. Tunc respondens Petrus, dixit
δυνατά ἐστι. τότε ἀποκριθεὶς ὁ Πέτρος, εἶπεν 27
ei: Ecce nos reliquimus omnia, & sequuti su-
αὐτῷ, ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθή-
mus te: quid ergo erit nobis? At Iesus dixit
σαμέν σοι· τί ἄρα ἔσται ἡμῖν; ὁ δὲ Ἰησοῦς εἶπεν 28
illis: Amen dico vobis, quòd vos sequu-
αὐτοῖς, ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθή-

† paruuli, * autem ‡ Iesus verò ait eis: Paruulos, & nolite eos prohibere * enim ‖ quū imposuisset * Qui † interrogas de bono? vnus est bonus, * autem ‡ homicidiū facies, § facies furtum. * falsū testimoniū dices: ‖ mihi deest? * quæ habes † Quum audisset ‡ autem § Et § cælorum * Auditis * his ‖ poterit * saluus esse ‡ autem ‡ qui

ti me in regeneratione, quum sederit
σαντές μοι ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ
Filius hominis in throno gloriæ suæ, sede-
υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθή-
bitis & vos super duodecim thronos, iudicantes
σεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνων, κρίνοντες τὰς
duodecim tribus Israël. Et omnis qui reliquerit
29 δώδεκα φυλὰς τοῦ Ἰσραήλ. καὶ πᾶς ὃς ἀφῆκεν
domum, vel fratres, aut sorores, aut patrem, aut ma-
οἰκίαν, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μη-
trem, aut vxorem, aut natos, aut agros propter no-
τέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς, ἕνεκεν τοῦ ὀνό-
men meum, centuplum accipiet, & vitam
ματός μου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν
æternam hæreditabit. Multi autem erunt pri-
30 αἰώνιον κληρονομήσει. πολλοὶ δὲ ἔσονται πρῶ-
mi, nouissimi: & nouissimi, primi.
τοι, ἔσχατοι· καὶ ἔσχατοι, πρῶτοι.

‡ estis ‡ sede maiestatis * sedes ‖ filios * possidebit.

CAP. XX. κʹ.

Simile enim est regnum cælorum
1 Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν
homini patrifamiliàs, qui exiit cum diluculo
ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ
conducere operarios in vineam suam.
μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ.
Conueniens autem cum operariis ex dena-
2 συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηνα-
rio diem, misit eos in vi-
ρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπε-
neam suam. Et egressus circa tertiam ho-
3 λῶνα αὐτοῦ. καὶ ἐξελθὼν περὶ τὴν τρίτην ὥ-
ram vidit alios stantes in foro otiosos:
ραν, εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς·
Et illis dixit: Abite & vos in vi-
4 κἀκείνοις εἶπεν, ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμ-
neam *: & quod fuerit iustum dabo vobis. Illi autē
5 πελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν. οἱ δὲ
abierunt. Iterum exiens circa sextam & nonam
ἀπῆλθον. πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ ἐννάτην
horam, fecit similiter. Circa verò vnde-
6 ὥραν, ἐποίησεν ὡσαύτως. περὶ δὲ τὴν ἑνδε-
cimam horam exiens, inuenit alios stantes otio-
κάτην ὥραν ἐξελθὼν, εὗρεν ἄλλους ἑστῶτας ἀρ-
sos, & dicit illis: Quid hic statis totam
γοὺς, καὶ λέγει αὐτοῖς, τί ὧδε ἑστήκατε ὅλην τὴν
diem otiosi? Dicunt ei: Quia nemo
7 ἡμέραν ἀργοί; λέγουσιν αὐτῷ, ὅτι οὐδεὶς
nos mercede conduxit. Dicit eis: Ite &
ἡμᾶς ἐμισθώσατο. λέγει αὐτοῖς, ὑπάγετε καὶ
vos in vineam *, & quod fuerit iustum su-
ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον λή-
metis. Vespere autem facto, dicit dominus
8 ψεσθε. ὀψίας δὲ γενομένης, λέγει ὁ κύριος τοῦ
vineæ procuratori suo, Voca
ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ, κάλεσον τοὺς
operarios, & redde illis mercedem, inci-
ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν, ἀρξά-
piens à nouissimis vsque ad primos. Et ve-
9 μενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων. καὶ ἐλ-
nientes qui circa vndecimam horam, acceperunt singu-
θόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀ-
guli denarium. Venientes autem primi, arbitrati
10 νὰ δηνάριον. ἐλθόντες δὲ οἱ πρῶτοι ἐνόμι-
sunt quòd plus essent accepturi: & acceperunt & ipsi
σαν ὅτι πλείονα λήψονται· καὶ ἔλαβον καὶ αὐτοὶ
singuli denarium. Accipiētes autem murmurabāt aduersus
11 ἀνὰ δηνάριον. λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ
patremfamilias, Dicentes. Quòd hi nouissimi
12 οἰκοδεσπότου, λέγοντες, ὅτι οὗτοι οἱ ἔσχατοι
vnam horam fecerunt: & pares nobis illos fecisti,
μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας,

† primo mane * Conuentione facta ‡ diurno * meam ‖ autem exiit * & † exiit, & * tota die ‡ meam § Quū sero autem factum esset * Quū venissent ergo ‖ venerant † singulos denarios * & ‡ autem ‡ singulos denarios * Et ‖ vna hora

† qui portauimus * æstus. ‡ At ille

portantibus pondus diei, & æstum.
τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα.
Ille verò respondens dixit vni eorum: Amice,
ὁ δὲ ἀποκριθεὶς εἶπεν ἑνὶ αὐτῶν, ἑταῖρε, 13
non facio iniuriā tibi: nonne denario conuenisti mecum?
οὐκ ἀδικῶ σε. οὐχὶ δηναρίου συνεφώνησάς μοι;

‡ ex · * est, ‖ vade. ‡ &

Tolle quod tuum*, & abi. volo autem huic no-
ἆρον τὸ σὸν, καὶ ὕπαγε. θέλω δὲ τούτῳ τῷ ἐσ- 14
uissimo dare sicut & tibi. Aut non licet mihi face-
χάτῳ δοῦναι ὡς καὶ σοί. ἢ οὐκ ἔξεστί μοι ποιῆ- 15

* nequam

re quod volo in meis? an oculus tuus nequam
σαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; εἰ ὁ ὀφθαλμός σου πο-
est, quia ego bonus sum? Sic erunt
νηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; οὕτως ἔσονται 16
nouissimi, primi: & primi, nouissimi. Mul-
οἱ ἔσχατοι, πρῶτοι· καὶ οἱ πρῶτοι, ἔσχατοι. πολ-
ti enim sunt vocati, pauci verò electi. Et
λοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. καὶ 17
ascendens Iesus in Hierosolymam, assumpsit
ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, παρέλαβε

† secretò,

duodecim discipulos primum in via, &
τοὺς δώδεκα μαθητὰς κατ' ἰδίαν ἐν τῇ ὁδῷ, καὶ
ait illis: Ecce ascendimus in Hierosoly-
εἶπεν αὐτοῖς· ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυ- 18
mam, & Filius hominis tradetur
μα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς
principibus Sacerdotū & Scribis. & condemnabunt
ἀρχιερεῦσι καὶ γραμματεῦσι· καὶ κατακρινοῦσιν
eum morte: Et tradent eum
αὐτὸν θανάτῳ· καὶ παραδώσουσιν αὐτὸν τοῖς 19
Gentibus ad illudendum, & flagellandum, & cruci-
ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι, καὶ μαστιγῶσαι, καὶ σταυ-
figendum: & tertia die resurget.
ρῶσαι· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.
Tunc accessit ad eum mater filiorum Zebe-
τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβε- 20
dæi, cum filiis suis, adorans & pe-
δαίου, μετὰ τῶν υἱῶν αὐτῆς, προσκυνοῦσα καὶ αἰ-

‡ Qui

tens aliquid ab eo. *Ille verò dixit ei: Quid vis?
τοῦσά τι παρ' αὐτοῦ. ὁ δὲ εἶπεν αὐτῇ, τί θέλεις; 21
Ait illi: Dic vt sedeant hi duo filij
λέγει αὐτῷ, εἰπὲ ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί

‡ ad dexterā tuam ‡ ad sinistram

mei, vnus à dexteris tuis, & vnus à sinistris in
μου, εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων ἐν τῇ
regno tuo. Respondens autem Iesus, dixit:
βασιλείᾳ σου. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν, 22
Nescitis quid petatis. Potestis bibere cali-
οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτή-

*bibiturus sum?

cem quem ego *futurus sum bibere? & baptismo quo ego
ριον ὃ ἐγὼ μέλλω πίνειν; καὶ τὸ βάπτισμα, ὃ ἐγὼ
baptizor, baptizari? Dicunt ei, Pos-
βαπτίζομαι, βαπτισθῆναι; λέγουσιν αὐτῷ, δυ-
sumus. Et ait illis: Quidem calicem meum
νάμεθα. καὶ λέγει αὐτοῖς, τὸ μὲν ποτήριόν μου 23
bibetis, & baptismo quo ego baptizor, ba-
πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βα-

‖ sedere autem ad dexteram meā & sinistram, * vobis,

ptizemini: sed sedere à dexteris meis & à
πτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ
sinistris meis, non est meum dare*, sed quibus para-
εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοί-
tum est à Patre meo. Et audientes
μασται ὑπὸ τοῦ πατρός μου. καὶ ἀκούσαντες οἱ 24
decem, indignati sunt de duobus fratribus.
δέκα, *ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν.

* ἀγανακτέω · † Iesus autem vocauit eos ad se, &

Verùm Iesus aduocans eos, ait:
ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, εἶπεν, 25
Scitis quia principes Gentium dominantur
οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν, κατακυριεύουσιν

* qui maiores sunt ‡ in eos. ‡ inter vos: * inter vos maior

eorum, & magni potestatem exercent eorum.
αὐτῶν, καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν.
Non ita verò erit in vobis: sed quicumq; voluerit* in
οὐχ οὕτως δὲ ἔσται ἐν ὑμῖν. ἀλλ' ὃς ἐὰν θέλῃ ἐν 26

vobis magnus fieri, sit vester minister: Et qui
ὑμῖν μέγας γενέσθαι, ἔστω ὑμῶν διάκονος. καὶ ὃς 27
voluerit in vobis esse primus, sit vester seruus.
ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δοῦλος.

‖ inter vos * erit

Sicut Filius hominis non venit ministra-
ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονη- 28
ri, sed ministrare, & dare animam suam
θῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ

† redemptionem

pretium redemptionis pro multis. Et egredientibus il-
λύτρον ἀντὶ πολλῶν. καὶ ἐκπορευομένων αὐ- 29
lis ab Iericho, sequuta est eum turba multa.
τῶν ἀπὸ Ἱεριχὼ, ἠκολούθησεν αὐτῷ ὄχλος πολύς.
Et ecce duo cæci sedentes secus viam,
καὶ ἰδοὺ δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδὸν, 30

* audierūt quia Iesus transiret: & ‡ autem

audientes quod Iesus præterit, clamauerunt, dicen-
ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν, λέγον-
tes: Miserere nostri Domine fili Dauid. At turba
τες, ἐλέησον ἡμᾶς κύριε υἱὸς Δαβίδ. ὁ δὲ ὄχλος 31

‡ At

increpabat eos vt tacerent. Illi verò magis
ἐπετίμησεν αὐτοῖς, ἵνα σιωπήσωσιν. οἱ δὲ μεῖζον
clamabant, dicentes: Miserere nostri Domine fili Da-
ἔκραζον, λέγοντες, ἐλέησον ἡμᾶς κύριε υἱὸς Δα-

* stetit ‖ & * vt

uid. Et *stans Iesus, vocauit eos, & ait:
βίδ. καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐτοὺς, καὶ εἶπε, 32
Quid vultis* faciam vobis? Dicunt illi: Do-
τί θέλετε ποιήσω ὑμῖν; λέγουσιν αὐτῷ, κύ- 33
mine, vt aperiantur nostri oculi. Visce-
ριε, ἵνα ἀνοιχθῶσιν ἡμῶν οἱ ὀφθαλμοί. σπλαγ-

† Misertus eorum

ribus commotus autem Iesus, tetigit oculos eo-
χνισθεὶς δὲ ὁ Ἰησοῦς, ἥψατο τῶν ὀφθαλμῶν αὐ-

* viderunt

rum. Et confestim *respexerunt eorum ocu-
τῶν· καὶ εὐθέως ἀνέβλεψαν αὐτῶν οἱ ὀφθαλ- 34
li: & sequuti sunt eum.
μοὶ, καὶ ἠκολούθησαν αὐτῷ.

CAP. XXI. κα'.

* Hierosolymis, ‡ Oliueti,

Et cūm appropinquassēt *in Hierosolymam, & venissent in
ΚΑὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα, καὶ ἦλθον εἰς 1
Bethphage ad montem Oliuarum, tunc Iesus
Βηθφαγὴ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, τότε ὁ Ἰησοῦς
misit duos discipulos, Dicens eis: I-
ἀπέστειλε δύο μαθητὰς, λέγων αὐτοῖς, πορεύ- 2

‡ castellū quod contra vos est

te in vicum qui aduersum vos, & sta-
θητε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν, καὶ εὐ-
tim inuenietis asinam alligatam, & pullum cum
θέως εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ'

* soluite &

ea. *soluentes adducite mihi. Et si quis vo-
αὐτῆς, λύσαντες ἀγάγετέ μοι. καὶ ἐάν τις ὑ- 3

‡ his opus habet, & confestim

bis dixerit aliquid, dicite quia Dominus eorum vsum ha-
μῖν εἴπῃ τι, ἐρεῖτε, ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔ-
bet: statim autem dimittet eos. Hoc autem totū fa-
χει· εὐθέως δὲ ἀποστελεῖ αὐτούς. τοῦτο δὲ ὅλον γέ- 4

* quod dictum est

ctum est, vt adimpleretur *dictum per Prophetam,
γονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου,
dicentem: Dicite filiæ Sion: Ecce
λέγοντος. εἴπατε τῇ θυγατρὶ Σιὼν, ἰδοὺ ὁ βα- 5

† sedens

rex tuus venit tibi mansuetus, & insidens
σιλεύς σου ἔρχεταί σοι πραῢς, καὶ ἐπιβεβηκὼς
super asinam, & pullum filium subiugalis. Eun-
ἐπὶ ὄνον, καὶ πῶλον υἱὸν ὑποζυγίου. πορευ- 6

* fecerunt sicut præcepit

tes autem discipuli, & facientes sicut
θέντες δὲ οἱ μαθηταὶ, καὶ ποιήσαντες καθὼς
præordinauit illis Iesus, Adduxerunt asinam, &
προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς, ἤγαγον τὴν ὄνον, καὶ 7
pullum: & imposuerunt super eos vestimenta
τὸν πῶλον, καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια

‡ eū sedere fecerunt

sua, & insedit desuper eos. At pluri-
αὐτῶν, καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν. ὁ δὲ πλεῖ- 8

‡ autem

ma turba strauerunt sua vestimenta in
στος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ
via: alij autem cædebant ramos de arboribus, &
ὁδῷ· ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων, καὶ
ἐστρών-

sternebant in via. † At turba præe-
ἐστρώννυον ἐν τῇ ὁδῷ. Οἱ δὲ ὄχλοι οἱ προά- 9
dentes & sequentes clamabant, dicentes:
γοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, λέγοντες,
Hosanna filio Dauid: benedictus *veniens
ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος
in nomine Domini, Hosanna in altissimis. Et
ἐν ὀνόματι κυρίου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. καὶ 10
‡ intrante eo in Hierosolymam, cōmota est vniuersa
εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα, *ἐσείσθη πᾶσα
ciuitas, dicens: Quis est hic? § At turba di-
ἡ πόλις, λέγουσα, Τίς ἐστιν οὗτος; οἱ δὲ ὄχλοι ἔ- 11
cebant: Hic est Iesus Propheta, qui à Na-
λεγον, οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης ὁ ἀπὸ Να-
zareth Galilææ. Et intrauit Iesus in
ζαρὲτ τῆς Γαλιλαίας. Καὶ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς 12
templum Dei: & eiiciebat omnes ven-
τὸ ἱερὸν τοῦ θεοῦ, καὶ ἐξέβαλε πάντας τοὺς πω-
dentes & *mercantes in templo, &
λοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς
mensas numulariorum euertit, &
τραπέζας τῶν κολλυβιστῶν κατέστρεψε, καὶ τὰς
cathedras vendentium columbas.
καθέδρας τῶν πωλούντων τὰς περιστεράς.
Et dicit eis: Scriptum est: Domus mea, domus
Καὶ λέγει αὐτοῖς, γέγραπται, ὁ οἶκός μου, οἶκος 13
orationis vocabitur: vos autem illam feci-
προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ἐποιή-
stis speluncam latronum. Et accesserunt ad eum
σατε σπήλαιον λῃστῶν. Καὶ προσῆλθον αὐτῷ 14
cæci & claudi in templo, & sanauit eos.
τυφλοὶ καὶ χωλοὶ ἐν τῷ ἱερῷ, καὶ ἐθεράπευσεν αὐτούς.
Videntes autem principes Sacerdotum & Scribæ
Ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὰ 15
mirabilia quæ fecit, & pueros clamantes
θαυμάσια ἃ ἐποίησε, καὶ τοὺς παῖδας κράζοντας
in templo, & dicentes: Hosanna filio Dauid,
ἐν τῷ ἱερῷ, καὶ λέγοντας, ὡσαννὰ τῷ υἱῷ Δαβίδ,
indignati sunt, Et dixerunt ei: Audis quid isti
ἠγανάκτησαν, καὶ εἶπον αὐτῷ, ἀκούεις τί οὗτοι 16
dicant? At Iesus ‖ dicit eis: Vtique. nunquam le-
λέγουσιν; ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς, ναί. οὐδέποτε ἀνέ-
gistis, Quia ex ore infantium, & lactentium
γνωτε, ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων
perfecisti laudem? Et † relinquens ipsos, ab-
κατηρτίσω αἶνον; Καὶ καταλιπὼν αὐτούς, ἐξῆλ- 17
iit *extra ciuitatem in Bethaniam, ‡ & diuersatus est ibi.
θεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν, καὶ ηὐλίσθη ἐκεῖ.
Manè autem reuertens in ciuitatem, esuriit.
Πρωΐας δὲ ἐπανάγων εἰς τὴν πόλιν, ἐπείνασε. 18
Et videns § ficum vnam secus viam, venit ad
Καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ, ἦλθεν ἐπ' 19
eam: & nihil inuenit in ea, *si non folia
αὐτήν, καὶ οὐδὲν *εὗρεν ἐν αὐτῇ, εἰ μὴ φύλλα
tantùm: & ait illi: Nunquam ex te fructus ‖ fiat
μόνον. Καὶ λέγει αὐτῇ, μηκέτι ἐκ σοῦ καρπὸς γένηται
in sæculum: & arefacta est continuò ficul-
εἰς τὸν αἰῶνα. Καὶ *ἐξηράνθη παραχρῆμα ἡ συ-
nea. Et videntes discipuli, mirati sunt, dicen-
κῆ. Καὶ ἰδόντες οἱ μαθηταί, ἐθαύμασαν, λέγον- 20
tes: Quomodo continuò aruit ficus?
τες, πῶς παραχρῆμα *ἐξηράνθη ἡ συκῆ;
Respondens autem Iesus, ait eis: Amen di-
Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς, ἀμὴν λέ- 21
co vobis, si habueritis fidem, & non hæsitaueritis, non
γω ὑμῖν, ἐὰν ἔχητε πίστιν, καὶ μὴ διακριθῆτε, οὐ
solum † quod ficus facietis, sed & si monti
μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει
huic dixeritis, *Tollere & iactare in ma-
τούτῳ εἴπητε, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασ-
re, fiet. Et omnia quæcumque petieritis in
σαν, γενήσεται. Καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν 22

† Turbæ autem quæ præcedebāt, & quæ sequebantur.
* qui venit
‡ quū intrasset
* ἐσείσθη
§ Populi autem
* ementes
* ἀγανακτέω
‖ autem dixit
† relictis illis.
* foras
‡ ibique mansit.
§ fici arborem
* nisi
* εὑρίσκω
‖ nascatur in sempiternum:
* ξηραίνομαι
† de ficulnea
* Tolle, & iacta te

oratione, credentes accipietis. Et ‡ veniente
τῇ προσευχῇ πιστεύοντες, λήψεσθε. Καὶ ἐλθόντι 23
ipsi in templum, accesserunt § ei docenti
αὐτῷ εἰς τὸ ἱερόν, προσῆλθον αὐτῷ διδάσκοντι
principes Sacerdotum, & seniores populi dicentes:
οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ, λέγοντες,
In qua *auctoritate hæc facis, & quis tibi dedit
ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς σοι ἔδωκε τὴν
‖ auctoritatem hanc? Respondens autem Iesus, dixit
ἐξουσίαν ταύτην; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν 24
eis: Interrogabo vos & ego sermonē vnum, quem si
αὐτοῖς, ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα· ὃν ἐὰν
dixeritis mihi, & ego vobis dicam in qua † auctoritate
εἴπητέ μοι, κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ
hæc facio. Baptismus Ioannis vnde erat?
ταῦτα ποιῶ. Τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν; 25
è cælo, an ex hominibus? *Illi autem ratiocinabantur
ἐξ οὐρανοῦ, ἢ ἐξ ἀνθρώπων; οἱ δὲ διελογίζοντο
apud seipsos, dicentes: Si dixerimus, è cælo:
παρ' ἑαυτοῖς, λέγοντες, ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ,
dicet nobis Quare ergo non credidistis illi? Si autē
ἐρεῖ ἡμῖν, διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; ἐὰν δὲ 26
dixerimus, ex hominibus, timemus turbam. om-
εἴπωμεν, ἐξ ἀνθρώπων, φοβούμεθα τὸν ὄχλον. πάν-
nes enim habent Ioannem sicut Prophetam. Et re-
τες γὰρ ἔχουσι τὸν Ἰωάννην ὡς προφήτην. Καὶ ἀ- 27
spondentes Iesu, dixerunt: Nescimus. Ait illis
ποκριθέντες τῷ Ἰησοῦ, εἶπον, οὐκ οἴδαμεν. ἔφη αὐτοῖς
& ipse: Nec ego dico vobis in qua ‡ auctoritate hæc
καὶ αὐτός, οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα
facio. Quid autē vobis videtur? Homo quidā habebat § natos
ποιῶ. Τί δὲ ὑμῖν δοκεῖ; ἄνθρωπός τις εἶχε τέκνα 28
duos: & accedens *primo, dixit: Fili, vade,
δύο· καὶ προσελθὼν τῷ πρώτῳ, εἶπε, τέκνον, ὕπαγε,
hodie operare in vinea mea. Ille autē re-
σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου. Ὁ δὲ ἀπο- 29
spondens, ait: Nolo. Postea autem pœnitētia ‖ affectus ab-
κριθεὶς εἶπεν, οὐ θέλω. ὕστερον δὲ μεταμεληθείς, ἀπ-
iit. Et accedens † alteri, dixit simili-
ῆλθε. Καὶ προσελθὼν τῷ δευτέρῳ, εἶπεν ὡσαύ- 30
ter. *Ille verò respondens, ait: ‡ Ego Domine. & non § abiit.
τως. ὁ δὲ ἀποκριθεὶς εἶπεν, ἐγὼ κύριε. καὶ οὐκ ἀπῆλθε.
Quis ex duobus fecit voluntatem patris? Di-
Τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός; λέ- 31
cunt ei, Primus. Dicit illis Iesus: Amen
γουσιν αὐτῷ, ὁ πρῶτος. λέγει αὐτοῖς ὁ Ἰησοῦς, ἀμὴν
dico vobis, *quod publicani & meretrices ‖ præeunt
λέγω ὑμῖν, ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν
vobis in regnum Dei. Venit enim ad
ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Ἦλθε γὰρ πρὸς 32
vos Ioannes in via iustitiæ, & non credi-
ὑμᾶς Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύ-
distis ei: At publicani † & meretrices crediderunt
σατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν
ei. vos autem videntes *non pœnituistis post-
αὐτῷ. ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστε-
eà, ‡ ad credendum ei. Aliam parabolam
ρον, τοῦ πιστεῦσαι αὐτῷ. Ἄλλην παραβολὴν 33
audite: Homo quidam erat paterfamilias, qui
ἀκούσατε. Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις
plantauit vineam, & sepem § ei circu-
ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέ-
posuit, & fodit in ea torcular, & ædificauit
θηκε, καὶ ὤρυξεν ἐν αὐτῷ ληνόν, καὶ ᾠκοδόμησε
turrim, & locauit eam agricolis, & peregre pro-
πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδή-
fectus est. Quum autē appropinquasset tempus fructuum,
μησεν. Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, 34
*legauit seruos suos ad agri-
ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωρ-
colas ‖ accipere fructus eius. Et accipientes
γούς, λαβεῖν τοὺς καρποὺς αὐτοῦ. Καὶ λαβόντες οἱ 35

‡ quum venisset
§ ad eum docentem
* potestate
‖ potestatem
† potestate
* At illi cogitabāt inter se,
‡ potestate
§ filios
* ad primum,
‖ motus,
† autem ad alterum
* At ille
‡ Eo
§ iuit.
* quia
‖ præcedūt vos
† autem
* nec pœnitentiam habuistis
‡ vt crederetis
§ circumdedit ei,
* misit
‖ vt acciperent

C

agricolæ † seruos eius, *hunc quidem ceciderũt, ‡hũc verò
γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ
occiderunt, ‡ illum verò lapidauerunt. *Rursum lega-
ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. πάλιν ἀπέ- 36
uit alios seruos plures prioribus: &
στειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων· καὶ
fecerunt illis similiter. ‖ Posterius autem misit
ἐποίησαν αὐτοῖς ὡσαύτως. ὕστερον δὲ ἀπέστειλε 37
ad eos filium suum, dicens: Verebun-
πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ, λέγων, ἐντραπήσον-
tur filium meum. At agricolæ † videntes filium, di-
ται τὸν υἱόν μου. Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱόν, εἶ- 38
xerũt *in seipsis: Hic est hæres: venite, oc-
πον ἐν ἑαυτοῖς, οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε, ἀ-
cidamus eum, & ‡ obtineamus hære-
ποκτείνωμεν αὐτόν, καὶ κατάσχωμεν τὴν κληρο-
ditatem eius. Et ‡ sumentes eiecerunt eum ex-
νομίαν αὐτοῦ. καὶ λαβόντες ἐξέβαλον αὐτὸν ἔ- 39
tra vineam, & occiderunt. Quum ergo
ξω τοῦ ἀμπελῶνος, καὶ ἀπέκτειναν. ὅταν οὖν 40
venerit dominus vineæ, quid faciet
ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς
agricolis illis? Aiunt illi: Malos ma-
γεωργοῖς ἐκείνοις; λέγουσιν αὐτῷ, κακοὺς κα- 41
lè perdet ipsos, & vineam* loca-
κῶς ἀπολέσει αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκδώ-
bit aliis agricolis, qui reddent ei
σεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ
‖ fructus in temporibus suis. Dicit il-
τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. λέγει αὐ- 42
lis Iesus: Nunquam legistis in Scripturis:
τοῖς ὁ Ἰησοῦς, οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς,
lapidem quem reprobauerunt ædificantes, hic fa-
λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγε-
ctus est in caput anguli? à Domino factum est
νήθη εἰς κεφαλὴν γωνίας. παρὰ κυρίου ἐγένετο
istud: & est mirabile in oculis nostris. †Propter
αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. διὰ 43
hoc dico vobis, *quòd tolletur à vobis re-
τοῦτο λέγω ὑμῖν, ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασι-
gnum Dei, & dabitur genti facienti fru-
λεία τοῦ θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρ-
ctus eius. Et ‡ cadens super lapidem istum, $ con-
ποὺς αὐτῆς. καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, συν- 44
quassabitur: super quem verò ceciderit, *comminuet eum.
θλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν.
Et ‖ audientes principes Sacerdotum & Pharisæi
καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι 45
parabolas eius, cognouerũt quòd de ipsis diceret.
τὰς παραβολὰς αὐτοῦ, ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει.
Et quærentes eum † prehendere, timuerunt
καὶ ζητοῦντες αὐτὸν κρατῆσαι, ἐφοβήθησαν τοὺς 46
turbas: quoniam sicut Prophetam eum habebant.
ὄχλους, ἐπειδὴ ὡς προφήτην αὐτὸν εἶχον.

Marg.: ‡ apprehẽsis seruis — ‡ alium — * Iterum misit — ‖ Nouissimè — * ἐντρέπω — † autem — * intra se: — ‡ habebimus — ‡ apprehensum — * suam — ‖ fructum — † Ideo — * quia auferetur — ‡ qui ceciderit — $ confringetur: — * conteret — ‖ quum audissent — † tenere,

CAP. XXII. κβ'.

Et respondens Iesus, iterum dixit eis in
ΚΑὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, πάλιν εἶπεν αὐτοῖς ἐν 1
parabolis, dicens: Simile factum est regnum
παραβολαῖς, λέγων· ὡμοιώθη ἡ βασιλεία 2
cælorum homini regi, qui fecit nu-
τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γά-
ptias filio suo: Et misit seruos
μους τῷ υἱῷ αὐτοῦ· καὶ ἀπέστειλε τοὺς δούλους 3
suos vocare *vocatos ad nuptias:
αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους·
& nolebant venire. Iterum misit alios
καὶ οὐκ ἤθελον ἐλθεῖν. πάλιν ἀπέστειλεν ἄλλους 4
seruos, dicens: Dicite ‡ vocatis: Ecce
δούλους, λέγων, εἴπατε τοῖς κεκλημένοις, ἰδοὺ τὸ
prandium meum paraui, tauri mei & altilia
ἄριστόν μου ἡτοίμασα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ

Marg.: *inuitatos — ‡ inuitatis:

occisa $, & omnia *expedita. venite ad nu-
τεθυμένα, καὶ πάντα ἕτοιμα. δεῦτε εἰς τοὺς γά-
ptias. Illi autem ‖ neglexerunt abierunt, † ille quidem in
μους. Οἱ δὲ ἀμελήσαντες ἀπῆλθον, ὁ μὲν εἰς 5
proprium agrum, ille verò ad *mercaturam suam:
τὸν ἴδιον ἀγρόν, ὁ δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ.
‡ At reliqui prehendentes seruos eius, $ contu-
οἱ δὲ λοιποὶ κρατήσαντες τοὺς δούλους αὐτοῦ, ὕ- 6
meliis *affecerunt, & occiderunt. ‖ Audiens autem
βρισαν, καὶ ἀπέκτειναν. ἀκούσας δὲ ὁ βα- 7
rex ille, iratus est: & † mittens exer-
σιλεὺς ἐκεῖνος, ὠργίσθη· καὶ πέμψας τὰ στρα-
citus suos, perdidit homicidas illos,
τεύματα αὐτοῦ, ἀπώλεσε τοὺς φονεῖς ἐκείνους,
& ciuitatem illorum *incendit. Tunc ait
καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε. τότε λέγει τοῖς 8
seruis suis: Quidem nuptiæ ‡ expedita sunt: $ qui autem vo-
δούλοις αὐτοῦ, ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κε-
cati, non fuerunt digni. Ite ergo ad
κλημένοι οὐκ ἦσαν ἄξιοι. πορεύεσθε οὖν ἐπὶ 9
*compita viarum, & quoscumque inueneritis, voca-
τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἂν εὕρητε, καλέ-
te ad nuptias. Et egressi ser-
σατε εἰς τοὺς γάμους. καὶ ἐξελθόντες οἱ δοῦ- 10
ui ‖ illi in vias, congregauerunt omnes quos
λοι ἐκεῖνοι εἰς τὰς ὁδούς, συνήγαγον πάντας ὅσους
inuenerunt, malosque & bonos: & impletæ sunt
εὗρον, πονηρούς τε καὶ ἀγαθούς· καὶ ἐπλήσθη ὁ
nuptiæ discumbentium. † Ingressus autem rex
γάμος ἀνακειμένων. εἰσελθὼν δὲ ὁ βασιλεὺς 11
*spectare discumbentes, ‡ vidit ibi homi-
θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρω-
nem non vestitum $ indumentum nuptiarum: Et ait
πον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου. καὶ λέγει 12
illi: Amice, quomodo intrasti huc, non habens ve-
αὐτῷ, ἑταῖρε, πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυ-
stem nuptialẽ? *Ille verò ore occlusus est. Tunc dixit
μα γάμου; ὁ δὲ ἐφιμώθη. τότε εἶπεν ὁ βα- 13
rex ministris: ‖ Ligantes eius manus &
σιλεὺς τοῖς διακόνοις, δήσαντες αὐτοῦ χεῖρας καὶ
pedes, tollite eum, & eijcite in tenebras
πόδας, ἄρατε αὐτόν, καὶ ἐκβάλετε εἰς τὸ σκότος
exteriores: ibi erit fletus & † fremi-
τὸ ἐξώτερον. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγ-
tus dentium. Multi enim sunt vocati, pau-
μὸς τῶν ὀδόντων. πολλοὶ γάρ εἰσι κλητοί, ὀλί- 14
ci verò electi. Tunc abeuntes Phari-
γοι δὲ ἐκλεκτοί. Τότε πορευθέντες οἱ Φαρι- 15
sæi, consilium *sumpserunt vt eum illa-
σαῖοι, συμβούλιον ἔλαβον, ὅπως αὐτὸν παγι-
quearent in sermone. Et mittunt ei
δεύσωσιν ἐν λόγῳ. καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς 16
discipulos suos cum Herodianis, dicentes:
μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρωδιανῶν, λέγοντες,
Magister, scimus quia verax es, & viam
καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς γενεῶν τοῖς φο- 50
mentibus eum. Fecit ‡ robur in brachio
βουμένοις αὐτόν. ἐποίησε κράτος ἐν βραχίονι 51
suo: $ dissipauit superbos ‖ cogitatione cor-
αὐτοῦ· διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρ-
dis * eorum. Detraxit potentes de † thronis,
δίας αὐτῶν. καθεῖλε δυνάστας ἀπὸ θρόνων, 52
& exaltauit humiles. Esurientes impleuit
καὶ ὕψωσε ταπεινούς. πεινῶντας ἐνέπλησεν 53
bonis, & diuites dimisit inanes.
ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.
Suscepit Israël puerum suum, * memora-
ἀντελάβετο ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆ- 54
ri misericordiae ‡. (Sicut loquutus est ad patres
ναι ἐλέους· καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας 55
nostros, Abraham & semini eius) in
ἡμῶν, τῷ ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν
$ seculum. Mansit autem Maria cum illa quasi ‖ men-
αἰῶνα. ἔμεινε δὲ μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆ- 56
ses tres: & reuersa est in domum suam.
νας τρεῖς· καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

† quae vocatur sterilis: * montana * σκιρτάω ‡ inter mulieres, $ ventris ‖ auribus meis, * quae credidit, quoniam perficientur ea quae dicta sunt † qui est * à progenie in progenies, ‡ potentiã $ dispersit ‖ mente * sui. Deposuit † sede, * recordatus ‡ suae. $ secula. ‖ mensibus tribus:

Verùm Elisabeth * impletum est tempus † parere
τῇ δὲ ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν 57
ipsam: & genuit filium. Et audierunt vici-
αὐτήν, καὶ ἐγέννησεν υἱόν. καὶ ἤκουσαν οἱ περίοι- 58
ni & cognati eius quia magnificauit Dominus
κοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνε κύριος
misericordiam suam cum illa: & congratulabantur ei.
τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς, καὶ συνέχαιρον αὐτῇ.
Et factum est in octauo die venerunt circumci-
καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτε- 59
dere puerum, & vocabant eum in nomine
μεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι
patris sui, Zachariam. Et respondens
τοῦ πατρὸς αὐτοῦ, ζαχαρίαν. καὶ ἀποκριθεῖσα ἡ 60
mater eius, dixit: Nequaquã: sed vocabitur Ioannes.
μήτηρ αὐτοῦ, εἶπεν, οὐχί, ἀλλὰ κληθήσεται ἰωάννης.
Et dixerunt ad illam: Quia nemo est in
καὶ εἶπον πρὸς αὐτήν, ὅτι οὐδείς ἐστιν ἐν τῇ 61
cognatione tua, qui vocetur nomine hoc.
συγγενείᾳ σου, ὃς καλεῖται τῷ ὀνόματι τούτῳ.
Innuebant autem patri eius, hoc, * quid vellet vo-
ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τό, τί ἂν θέλοι κα- 62
cari eum: Et postulans ‡ tabellam, scripsit,
λεῖσθαι αὐτόν. καὶ αἰτήσας πινακίδιον, ἔγραψε, 63
dicens: Ioannes est nomen eius. Et mirati sunt
λέγων, ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. καὶ ἐθαύμασαν
vniuersi. Apertum est autem os eius illi-
πάντες. * ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆ- 64
cò, & lingua eius afformata est, & loquebatur
μα, καὶ ἡ γλῶσσα αὐτοῦ * διηρθρώθη, καὶ ἐλάλει
benedicens Deum. Et factum est super omnes timor
εὐλογῶν τὸν θεόν. καὶ ἐγένετο ἐπὶ πάντας φόβος 65
vicinos eorum: & $ in omni montana
τοὺς περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς
Iudaeae diuulgabantur omnia verba haec.
ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα.
Et posuerunt omnes ‖ audientes in cor-
καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρ- 66
de suo, dicentes: * Quisnam puerulus iste erit?
δίᾳ αὐτῶν, λέγοντες, τί ἄρα τὸ παιδίον τοῦτο ἔσται;
Et † manus Domini erat cum illo. Et Zacharias
καὶ χεὶρ κυρίου ἦν μετ' αὐτοῦ. καὶ ζαχαρίας ὁ 67
pater eius repletus est Spiritu sancto, & pro-
πατὴρ αὐτοῦ ἐπλήσθη πνεύματος ἁγίου, καὶ προ-
phetauit, dicens: Benedictus Dominus Deus
εφήτευσε, λέγων, εὐλογητὸς κύριος ὁ θεὸς τοῦ 68
Israël: quia visitauit & fecit redemptionem
ἰσραήλ· ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ
plebi suae. Et erexit cornu salutis nobis in
λαῷ αὐτοῦ. καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν 69
domo Dauid pueri sui: Sicut loquu-
τῷ οἴκῳ δαβὶδ τοῦ παιδὸς αὐτοῦ. καθὼς ἐλά- 70
tus est per os sanctorum qui à seculo * Pro-
λησε διὰ στόματος τῶν ἁγίων τῶν ἀπ' αἰῶνος προ-
phetarum eius, Salutem ex inimicis nostris, & de
φητῶν αὐτοῦ, σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ 71
manu omnium ‡ odio habentium nos. $ Facere mise-
χειρὸς πάντων τῶν μισούντων ἡμᾶς. ποιῆσαι ἔ- 72
ricordiam cum patribus nostris, & memorari testa-
λεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι δια-
menti sancti sui. Iusiurandũ quod iurauit ad A-
θήκης ἁγίας αὐτοῦ. ὅρκον ὃν ὤμοσε πρὸς ἀ- 73
braham patrem nostrum, ‖ dare nobis, * Impauidè
βραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν, ἀφό- 74
de ex manu inimicorum nostrorum † liberatos, ser-
βως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν * ῥυσθέντας, λα-
uire illi, In sanctitate & iustitia coram
τρεύειν αὐτῷ, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον 75
ipso, * omnes dies vitae nostrae.
αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.
Et tu puer, Propheta Altissimi vocaberis:
καὶ σὺ παιδίον, προφήτης ὑψίστου κληθήσῃ· 76

* autem † pariendi: & peperit * quem ‡ pugillarem, * αὐτοῦ * διηρθρώθη $ super omnia ‖ qui audierant * Quis putas puer † enim * fuit ‡ qui oderunt $ Ad faciendam ‖ daturum se. * Vt sine timore de ‖ liberati, seruiamus * ῥυσθέντας * omnibus diebus nostris.

præibis enim ante faciem Domini, para-
προπορεύσῃ γὰρ πρὸ προσώπου κυρίου, ἑτοιμά-
re vias eius: Ad dandum scientiam salutis
σαι ὁδοὺς αὐτοῦ· τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ 77
plebi eius, in remissionem peccatorum eorum. Per
λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν. διὰ 78
viscera misericordiæ Dei nostri, in quibus visitauit
σπλάγχνα ἐλέους θεοῦ ἡμῶν, ἐν οἷς ἐπεσκέψατο
nos oriens ex alto. † Apparere iis qui in tene-
ἡμᾶς ἀνατολὴ ἐξ ὕψους· ἐπιφᾶναι τοῖς ἐν σκό- 79
bris & * vmbra mortis ‡ sedentibus: § Dirigere
τει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦναι 80
pedes nostros in viam pacis. ‖ At puerulus cres-
τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης. Τὸ δὲ παιδίον ηὔ-
cebat & * corroborabatur spiritu: & erat in desertis
ξανε καὶ ἐκραταιοῦτο πνεύματι· καὶ ἦν ἐν ταῖς ἐρήμοις
vsque in diem ostensionis suæ ad Israël.
ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

(margin: † Illuminare iis. * in. ‡ sedent. § Ad dirigendos. ‖ Puer autem. * confortabatur.)

CAP. II. β'.

Factum est autē in diebus illis, exiit
Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε 1
edictum à Cæsare Augusto, † describi
δόγμα παρὰ Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι
omnem habitatam. Hæc descriptio
πᾶσαν τὴν οἰκουμένην. αὕτη ἡ ἀπογραφὴ 2
prima facta est * præside Syriæ ‡ Cyrenio.
πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου.
Et ibant omnes § describi, vnusquis-
καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκα- 3
que in propriam ciuitatem. Ascendit autem & Ioseph à
στος εἰς τὴν ἰδίαν πόλιν. ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ 4
Galilæa ‖ ex ciuitate Nazareth, in Iu-
τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρέτ, εἰς τὴν Ἰου-
dæam, in ciuitatem Dauid, quæ vocatur Bethlehem,
δαίαν, εἰς πόλιν Δαβίδ, ἥτις καλεῖται Βηθλεέμ,
* propter esse ipsum ex domo & familia Dauid:
διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ,
† Describi cum Maria desponsa-
ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευ- 5
ta sibi vxore, existente prægnante. Factum est autē in
μένῃ αὐτῷ γυναικί, οὔσῃ ἐγκύῳ. ἐγένετο δὲ ἐν 6
esse eos ibi, impleti sunt dies ‡ parere
τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν
ipsam. Et peperit filium suum primogenitum,
αὐτήν. καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, 7
& § fasciauit eum, & reclinauit eum in
καὶ ἐσπαργάνωσεν αὐτόν, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ
‖ præsepi: quia non erat eis locus in diuerso-
φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύ-
rio. Et pastores erant in regione eadem
ματι. καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ 8
* in agro agentes, & custodientes † custodias
ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς
noctis super gregem suum. Et ecce angelus
νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. καὶ ἰδοὺ ἄγγελος 9
Domini * adstitit eis, & gloria Domini circumfulsit
κυρίου ἐπέστη αὐτοῖς, καὶ δόξα κυρίου περιέλαμψεν
illos: & timuerunt timore magno. Et dixit
αὐτούς· καὶ ἐφοβήθησαν φόβον μέγαν. καὶ εἶπεν 10
illis angelus: ‡ Ne pauete. Ecce enim euangeli-
αὐτοῖς ὁ ἄγγελος, μὴ φοβεῖσθε· ἰδοὺ γὰρ εὐαγγελί-
zo vobis gaudium magnum, quod erit omni
ζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ
populo. Quia natus est vobis hodie Saluator, qui
τῷ λαῷ, ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτήρ, ὅς 11
est Christus Dominus, in ciuitate Dauid. Et hoc
ἐστι Χριστὸς κύριος, ἐν πόλει Δαβίδ. καὶ τοῦτο 12
vobis signum: Inuenietis infantem § fascia-
ὑμῖν τὸ σημεῖον· εὑρήσετε βρέφος ἐσπαργανω-
tum, iacentem in præsepio. Et subitò
μένον, κείμενον ἐν τῇ φάτνῃ. καὶ ἐξαίφνης 13

(margin: † vt describeretur vniuersus orbis. * à. ‡ Cyrino. § vt profiterentur singuli in suam. ‖ de. * eo quòd esset de. † vt profiteretur. * μνηστευομένῃ. * quum essent. ‡ vt pareret. § pannis inuoluit. * σπαργανῶ. ‖ præsepio. * vigilātes. † vigilias. * stetit iuxta illos, & claritas Dei. ‡ Nolite timere. § pānis inuolutū, & positum.)

facta est cum angelo multitudo ‖ exercitus cælestis,
ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου,
laudantium Deum, & dicentium: Gloria in altissimis
αἰνούντων τὸν θεόν, καὶ λεγόντων· δόξα ἐν ὑψίστοις 14
Deo: & in terra pax, in hominibus * beneplacitum.
θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.
Et factum est vt discesserunt ab eis in cæ-
καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ᾽ αὐτῶν εἰς τὸν οὐ- 15
lum angeli, & homines pastores † dice-
ρανὸν οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι οἱ ποιμένες εἶ-
bant ad inuicem: Transeamus iam vsque in Bethlehem,
πον πρὸς ἀλλήλους, διέλθωμεν δὴ ἕως εἰς Βηθλεέμ,
& videamus verbum hoc * factum, quod Dominus o-
καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονός, ὃ ὁ κύριος ἐ-
stendit nobis. Et venerunt festinantes, & inuene-
γνώρισεν ἡμῖν. καὶ ἦλθον σπεύσαντες, καὶ ἀνεῦ- 16
runt & Mariam & Ioseph, & infantem ‡ ia-
ρον τήν τε Μαριὰμ καὶ τὸν Ἰωσήφ, καὶ τὸ βρέφος κεί-
centem in præsepio. Videntes autem cognouerunt
μενον ἐν τῇ φάτνῃ. ἰδόντες δὲ διεγνώρισαν 17
de verbo § dicto illis de ‖ pue-
περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παι-
rulo hoc. Et omnes * audientes mirati
δίου τούτου. καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμα- 18
sunt † de dictis à pastoribus ad
σαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς
ipsos. At Maria * omnia conseruabat ver-
αὐτούς. ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥή- 19
ba hæc, conferens in corde suo.
ματα ταῦτα, συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς.
Et reuersi sunt pastores, glorificantes & lau-
καὶ ἐπέστρεψαν οἱ ποιμένες, δοξάζοντες καὶ αἰ- 20
dantes Deum in omnibus quæ audierant & viderant, si-
νοῦντες τὸν θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον, κα-
cut dictum est ad illos. Et ‡ quando impleti
θὼς ἐλαλήθη πρὸς αὐτούς. καὶ ὅτε ἐπλήσθη- 21
sunt dies octo § circumcidendi eum, & vocatum
σαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν αὐτόν, καὶ ἐκλή-
est nomen eius IESVS, ‖ vocatum ab
θη τὸ ὄνομα αὐτοῦ ΙΗΣΟΥΣ, τὸ κληθὲν ὑπὸ
angelo * ante concipi eum in
τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ
vtero. Et † quum impleti sunt dies purga-
κοιλίᾳ. καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθα- 22
tionis eius, secundùm legem Moysi, tulerunt il-
ρισμοῦ αὐτῆς, κατὰ τὸν νόμον Μωσέως, ἀνήγαγον αὐ-
lum in Hierusalem, * sistere Domino.
τὸν εἰς Ἱεροσόλυμα, παραστῆσαι τῷ κυρίῳ
(Sicut scriptum est in lege Domini: Quia omne
καθὼς γέγραπται ἐν νόμῳ κυρίου, ὅτι πᾶν 23
masculinum adaperiens vuluam, sanctum Domino vo-
ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ κυρίῳ κλη-
cabitur.) Et ‡ dare hostiam, secundùm § dictum
θήσεται. καὶ τοῦ δοῦναι θυσίαν, κατὰ τὸ εἰρημένον 24
in lege Domini, par turturum, aut duos pullos
ἐν νόμῳ κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς
columbarum. Et ecce erat homo in Hierusa-
περιστερῶν. καὶ ἰδοὺ ἦν ἄνθρωπος ἐν Ἱερουσα- 25
lem, cui nomen Simeon: & homo iste iu-
λήμ, ᾧ ὄνομα Συμεών, καὶ ὁ ἄνθρωπος οὗτος δί-
stus & ‖ religiosus, expectans consolationem
καιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν
Israël: & Spiritus sanctus erat in eo. Et
τοῦ Ἰσραήλ· καὶ πνεῦμα ἅγιον ἦν ἐπ᾽ αὐτόν. καὶ 26
* erat ei responsum à Spiritu
ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος τοῦ
sancto, non † videre mortem, * prius quàm videret Christum
ἁγίου, μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χριστὸν
Domini. Et venit in spiritu in templum.
κυρίου. καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν· 27
Et ‡ in inferre parentes puerum
καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον
Ἰησοῦν,

(margin: ‖ militiæ. * bonæ voluntatis. † loquebantur. * quod factum est. ‡ positum. § quod dictum erat. ‖ puero. * qui audierant. † & de his quæ dicta erant. * autem. ‡ postquā consummati. § vt circūcideretur puer. ‖ quod est. * priùs quā in vtero conciperetur. * συλλαβεῖν. † postquā. * vt sisterent eum. ‡ vt darent. § quod dictum est. ‖ timoratus. * acceperat. † visurum nisi priùs. ‡ quum induceret.)

Iesum, † ad facere ipsi secundum * consuetum
Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ * εἰθισμένον τοῦ
Legis ‡ circa eum: Et ipse accepit eum in
νόμου περὶ αὐτοῦ· καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς 28
ulnas suas, & benedixit Deum, & dixit:
τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν θεόν, καὶ εἶπε,
Nunc dimittis seruum tuum Domine, secundum ver-
Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα, κατὰ τὸ ῥῆ- 29
bum tuum, in pace: Quia viderunt oculi mei
μά σου, ἐν εἰρήνῃ. ὅτι εἶδον οἱ ὀφθαλμοί μου 30
Salutare tuum. Quod parasti ante faciem
τὸ σωτήριόν σου· ὃ ἡτοίμασας κατὰ πρόσωπον 31
omnium populorum. Lumen ad reuelationem Gen-
πάντων τῶν λαῶν. φῶς εἰς ἀποκάλυψιν ἐθ- 32
tium, & gloriam plebis tuæ Israël. Et erat Ioseph &
νῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. καὶ ἦν Ἰωσὴφ καὶ 33
mater eius mirantes super ‡ dictis
ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις
de illo. Et benedixit illis Simeon: & di-
περὶ αὐτοῦ. καὶ εὐλόγησεν αὐτοὺς Συμεών, καὶ εἶ- 34
xit ad Mariam matrem eius: Ecce hic
πε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ, ἰδοὺ οὗτος
* iacet in ‡ casum, & resurrectionem multorum in Is-
κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσ-
raël, & in signum † contradictum. Et tuam
ραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον. καὶ σοῦ 35
verò ipsius animam pertransibit gladius: vt
δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία· ὅπως
reuelentur ex multis cordibus * ratio-
ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν δια-
cinationes. Et erat Anna prophetissa, filia
λογισμοί. καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ 36
Phanuël, ‡ ex tribu Aser: hæc ‡ progressa
Φανουήλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη * προβεβηκυῖα
in diebus multis, * viuens annos cum viro
ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς
septem à virginitate sua. Et hæc vidua
ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς· καὶ αὐτὴ χήρα 37
‡ quasi annorum octoginta quatuor: quæ non discedebat
ὡς ἐτῶν ὀγδοηκοντατεσσάρων, ἣ οὐκ ἀφίστατο
† à templo, ieiuniis & obsecrationibus seruiens nocte
ἀπὸ τοῦ ἱεροῦ, νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα
ac die. Et hæc, ipsa hora superueniens,
καὶ ἡμέραν. καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ * ἐπιστᾶσα, 38
similiter confitebatur Domino: & loquebatur de illo
ἀνθωμολογεῖτο τῷ κυρίῳ, καὶ ἐλάλει περὶ αὐτοῦ
omnibus * expectantibus redemptionem ‡ in Hierusalem.
πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερου-
salem. Et vt perfecerunt omnia quæ secundum le-
σαλήμ. καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νό- 39
gem Domini, reuersi sunt in Galilæam in
μον κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν εἰς
ciuitatem suam Nazareth. ‡ at puer ‡ cres-
τὴν πόλιν αὐτῶν Ναζαρέτ. τὸ δὲ παιδίον * ηὔ- 40
cebat, & * corroborabatur spiritu, plenus sa-
ξανε καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σο-
pientia: & gratia Dei erat in illo. Et ibant
φίας· καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτό. καὶ ἐπορεύοντο 41
parentes eius per ‡ annum in Hierusalem † festo
οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ
Paschæ. Et quum factus esset annorū duodecim, ascen-
τοῦ πάσχα. καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀνα- 42
dentibus illis in Hierosolymā, secundum consuetudinē festi,
βάντων αὐτῶν εἰς Ἱεροσόλυμα, κατὰ τὸ ἔθος τῆς ἑορτῆς, 43
‡ Et consummantibus dies, in reuerti
καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν
ipsos, remansit Iesus puer in Hierusalem: &
αὐτούς, ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ, καὶ
non ‡ cognouit Ioseph & mater eius. Existimantes
οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ. νομίσαντες 44
autem illum in comitatu esse, venerunt diei iter:
δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι, ἦλθον ἡμέρας ὁδὸν·

Margin: † parentes eius, vt facerent; * consuetudinem; * ἐθίζω; ‡ pro eo; ‡ his quæ dicebātur; * positus est ‡ ruinam, & in † cui contradicetur; * cogitationes; ‡ de ‡ processerat; * προβαίνω; * & vixerat cū viro suo annis; ‡ erat vsq, ad annos; † de; * ἐφίστημι; * qui expectabant ‡ Israël; ‡ autem; * αὐξάνω; * confortabatur; ‡ omnes annos ‡ in die solenni; ‡ dies; ‡ Consummatisque dieb' quū redirent; ‡ cognouerunt parentes eius.

& requirebant eum * in cognatis, & in
καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι, καὶ ἐν τοῖς
notis. Et non inuenientes eum, regressi sunt in
45 γνωστοῖς· καὶ μὴ εὑρόντες αὐτόν, ὑπέστρεψαν εἰς
Hierusalem, ‡ quærentes eum. Et factum est post
46 Ἱερουσαλήμ, ζητοῦντες αὐτόν. καὶ ἐγένετο, μεθ'
† dies tres inuenerunt illum in templo seden-
ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθεζό-
tem in medio doctorum, & audientem il-
μενον ἐν μέσῳ τῶν διδασκάλων, καὶ ἀκούοντα αὐ-
los, & interrogantem eos. Stupebant autem om-
47 τῶν, καὶ ἐπερωτῶντα αὐτούς. ἐξίσταντο δὲ πάν-
nes * audientes eum, super ‡ intelligentia &
τες οἱ ἀκούοντες αὐτοῦ, ἐπὶ τῇ συνέσει καὶ ταῖς
responsis eius. Et videntes ipsum, ‡ attoniti
48 ἀποκρίσεσιν αὐτοῦ. καὶ ἰδόντες αὐτὸν, ἐξεπλά-
fuerunt. Et ad illum mater eius dixit: Fili,
γησαν· καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε, τέκνον,
quid fecisti nobis sic? ecce pater tuus & ego
τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ σου κἀγὼ
dolentes quærebamus te. Et ait ad il-
49 ὀδυνώμενοι ἐζητοῦμέν σε. καὶ εἶπε πρὸς αὐ-
los: Quid * quòd quærebatis me? nesciebatis quia in his ‡
τούς, τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε ὅτι ἐν τοῖς
Patris mei oportet esse me? Et ipsi non intelle-
50 τοῦ πατρός μου δεῖ εἶναί με; καὶ αὐτοὶ οὐ συνῆ-
xerunt verbum quod loquutus est ad eos. Et descendit
51 καν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. καὶ κατέβη
cum eis, & venit in Nazareth: & erat sub-
μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέτ· καὶ ἦν ὑπο-
ditus illis: Et mater eius conseruabat om-
τασσόμενος αὐτοῖς· καὶ ἡ μήτηρ αὐτοῦ * διετήρει πάν-
nia verba hæc in corde suo.
τα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς.
Et Iesus proficiebat sapientia & ætate, & gra-
52 καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ, καὶ χά-
tia apud Deum & homines.
ριτι παρὰ θεῷ καὶ ἀνθρώποις.

CAP. III. γ'.

In anno autem quintodecimo imperij Ti-
1 ΕΝ ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τι-
berij Cæsaris, † præsidente Pontio Pilato
βερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου
* Iudææ, & tetrarcha ‡ Galilææ Hero-
τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρώ-
de, Philippo autem fratre eius tetrarcha
δου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος
Ituræ, & Trachonitidis regionis, & Lysania
τῆς Ἰτουραίας, καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου
Abilinæ tetrarcha, Sub principib' Sacerdotū
2 τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπ' ἀρχιερέων
Anna & Caïapha: factum est verbum ‡ Dei ad Ioannem
Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα θεοῦ ἐπὶ Ἰωάννην
Zachariæ filium in deserto. Et venit in
3 τὸν τοῦ Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ. καὶ ἦλθεν εἰς
omnem circa regionem Iordanis, prædicans ba-
πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βά-
ptismum pœnitentiæ in remissionem peccatorum:
πτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν,
Sicut scriptum est in libro sermonum Esaiæ
4 ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ
prophetæ, dicentis: Vox clamantis in deser-
προφήτου, λέγοντος, Φωνὴ βοῶντος ἐν τῇ ἐρή-
to, Parate viam Domini: rectas facite
μῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυρίου, εὐθείας ποιεῖτε
semitas eius. Omnis vallis imple-
5 τὰς τρίβους αὐτοῦ. πᾶσα φάραγξ πληρω-
bitur, & omnis mons & collis humiliabitur.
θήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται·
& erunt praua in * directum, & aspera in
καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς

Margin: * inter cognatos & notos; ‡ requirētes; † triduum; * qui audiebant ‡ prudentia ‡ admirati sunt; * est ‡ quæ sunt; * διατηρέω; † procurante; * Iudæam, ‡ autem; ‡ Domini super; * directa, & aspera.

vias planas. Et videbit omnis caro Salutare
ὁδοὺς λείας. καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον 6
Dei. Dicebat ergo †exeuntibus tur-
τοῦ θεοῦ. ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχ- 7
bis baptizari ab ipso: Genimina vipe-
λοις βαπτισθῆναι ὑπ' αὐτοῦ, γεννήματα ἐχι-
rarum, quis ostendit vobis fugere à ven-
δνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελ-
tura ira? Facite ergo fructus dignos
λούσης ὀργῆς; ποιήσατε οὖν καρποὺς ἀξίους τῆς 8
pœnitentiæ: & ne cœperitis dicere in vobisipsis: Pa-
μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, πα-
trem habemus Abraham. Dico enim vobis, quia *po-
τέρα ἔχομεν τὸν ἀβραάμ. λέγω γὰρ ὑμῖν, ὅτι δύ-
test Deus de lapidibus istis suscitare filios
ναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ
Abrahæ. Iam ‡verò & securis ad radicem
ἀβραάμ. ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν 9
arborum posita est. Omnis ergo arbor non faciens
τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν
fructum ‡pulchrum exciditur, & in ignem *mittitur.
καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.
Et interrogabant eum turbæ, dicentes: Quid ergo
καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι, λέγοντες, τί οὖν 10
faciemus? Respondens autem, dicebat illis: ‡Habens
ποιήσομεν; ἀποκριθεὶς δὲ λέγει αὐτοῖς, ὁ ἔχων 11
duas tunicas, †tradat non habenti: & *habens
δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι· καὶ ὁ ἔχων
escas, similiter faciat. Venerunt autē & publi-
βρώματα, ὁμοίως ποιείτω. ἦλθον δὲ καὶ τελῶ- 12
cani ‡baptizari: & dixerunt ad illum: Magi-
ναι βαπτισθῆναι, καὶ εἶπον πρὸς αὐτόν, διδάσ-
ster, quid faciemus? ‡Ille autem dixit ad eos:
καλε, τί ποιήσομεν; ὁ δὲ εἶπε πρὸς αὐτούς, 13
Nihil amplius *præter constitutum vobis
μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν
‡exigite. Interrogabant autem eum & mili-
πράσσετε. ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευό- 14
tes, dicentes: Et nos quid faciemus? Et ait †ad
μενοι, λέγοντες, καὶ ἡμεῖς τί ποιήσομεν; καὶ εἶπε πρὸς
eos: Neminem concutiatis, neque *calumniaveri-
αὐτούς, μηδένα διασείσητε, μηδὲ συκοφαντήση-
tis: & contenti estote stipendiis vestris. ‡Expe-
τε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν. προσδο- 15
ctante autem populo, & ‡ratiocinantibus omnibus in
κῶντος δὲ τοῦ λαοῦ, καὶ διαλογιζομένων πάντων ἐν
cordibus suis de Ioanne, ne fortè ipse esset
ταῖς καρδίαις αὐτῶν περὶ τοῦ ἰωάννου, μήποτε αὐτὸς εἴη
Christus: Respondit Ioannes omnibus, dicens:
ὁ χριστός· ἀπεκρίνατο ὁ ἰωάννης ἅπασι λέγων, 16
Ego quidem aqua baptizo vos: *venit autem for-
ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς, ἔρχεται δὲ ὁ ἰσχυρό-
tior me, cuius non sum dignus soluere corrigiam
τερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα
calceamentorum eius: ipse vos baptizabit in
τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βαπτίσει ἐν
Spiritu sancto & igni. Cuius ventilabrū in ma-
πνεύματι ἁγίῳ καὶ πυρί. οὗ τὸ πτύον ἐν τῇ χει- 17
nu eius, & perpurgabit aream suam, & congre-
ρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνά-
gabit triticum in horreum suum: ‡at paleam
ξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ· τὸ δὲ ἄχυρον
comburet igni inextinguibili. Multa quidem igitur &
κατακαύσει πυρὶ ἀσβέστῳ. πολλὰ μὲν οὖν καὶ 18
alia exhortans, euangelizabat †populum. At
ἕτερα παρακαλῶν εὐηγγελίζετο τὸν λαόν. ὁ δὲ 19
Herodes* tetrarcha, ‡correptus ab illo de
ἡρώδης ὁ τετράρχης, ἐλεγχόμενος ὑπ' αὐτοῦ περὶ
Herodiade vxore fratris sui Philip-
ἡρωδιάδος τῆς γυναικὸς τοῦ ἀδελφοῦ αὐτοῦ φιλίπ-
pi, & de omnibus quæ fecit malis Herodes,
που, καὶ περὶ πάντων ὧν ἐποίησε πονηρῶν ὁ ἡρώδης,

† ad turbas quæ exibāt vt baptizarentur | ‡ potest est | ‡ enim | ‡ bonum, excidetur | * mittetur | ‡ Qui habet | † det qui habet | ‡ vt baptizarentur | ‡ At | * quàm quod | ‡ est faciatis | † illis | * calumniam faciatis: | * διασείω | ‡ Existimante | ‡ cogitantibus | * veniet | ‡ paleas autem | † populo | * autem | ‡ quū corriperetur

Adiecit & hoc super omnia, & inclusit
προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι, καὶ κατέκλεισε 20
Ioannem in *carcerem. Factum est autē ‡in
τὸν ἰωάννην ἐν τῇ φυλακῇ. ἐγένετο δὲ ἐν τῷ 21
baptizari omnem populum, & Iesu bapti-
βαπτισθῆναι ἅπαντα τὸν λαόν, καὶ ἰησοῦ βαπτι-
zato, & orante, apertum *esse cæ-
σθέντος, καὶ προσευχομένου, ἀνεῳχθῆναι τὸν οὐ-
lum, Et ‡descendisse Spiritum sanctum cor-
ρανόν, καὶ καταβῆναι τὸ πνεῦμα τὸ ἅγιον σω- 22
porali specie sicut †columbam in ipsum: & *vocem
ματικῷ εἴδει ὡσεὶ περιστερὰν ἐπ' αὐτόν, καὶ φωνὴν
de cælo ‡fieri, dicentem: Tu es filius meus dile-
ἐξ οὐρανοῦ γενέσθαι, λέγουσαν, σὺ εἶ ὁ υἱός μου ὁ ἀγα-
ctus: in te complacuit mihi. Et ipse erat Iesus
πητός, ἐν σοὶ *ηὐδόκησα. καὶ αὐτὸς ἦν ὁ ἰησοῦς 23
quasi annorum triginta incipiens existens (*vt existima-
ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος ὤν, ὡς ἐνομί-
batur) filius Ioseph * Heli, * Matthat, * Leui,
ζετο υἱὸς ἰωσήφ τοῦ ἡλί, τοῦ ματθάτ, τοῦ λευΐ, 24
* Melchi, * Ianne, * Ioseph, * Matthathiæ,
τοῦ μελχί, τοῦ ἰαννά, τοῦ ἰωσήφ, τοῦ ματταθίου, 25
* Amos, * Naum, * Hesli, * Nagge, * Ma-
τοῦ ἀμώς, τοῦ ναούμ, τοῦ ἐσλί, τοῦ ναγγαί, τοῦ μα- 26
hath, * Matthathiæ, * Semei, * Ioseph, * Iuda:
άθ, τοῦ ματταθίου, τοῦ σεμεΐ, τοῦ ἰωσήφ, τοῦ ἰούδα·
* Ioanna, * Resa, * Zorobabel, * Sala-
τοῦ ἰωαννᾶ, τοῦ ῥησά, τοῦ ζοροβάβελ, τοῦ σαλα- 27
thiel, * Neri, * Melchi, * Addi, * Cosam,
θιήλ, τοῦ νηρί, τοῦ μελχί, τοῦ ἀδδί, τοῦ κωσάμ, 28
* Elmadan, * Her, * Iesu, * Eliezer, *
τοῦ ἐλμωδάμ, τοῦ ἤρ, τοῦ ἰωσῆ, τοῦ ἐλιέζερ, τοῦ 29
Iorim, * Matthat, * Leui, * Simeon, *
ἰωρείμ, τοῦ ματθάτ, τοῦ λευΐ, τοῦ συμεών, τοῦ 30
Iuda, * Ioseph, * Iona, * Eliacim, *
ἰούδα, τοῦ ἰωσήφ, τοῦ ἰωνάν, τοῦ ἐλιακείμ, τοῦ 31
Melcha, * Menna, * Matthatha, * Nathan, * Da-
μελεᾶ, τοῦ μαϊνάν, τοῦ ματταθά, τοῦ ναθάν, τοῦ δα-
uid, * Iesse, * Obed, * Booz, * Salmon,
βίδ, τοῦ ἰεσσαί, τοῦ ὠβήδ, τοῦ βοόζ, τοῦ σαλμών, 32
* Naasson, * Aminadab, * Aram, * Es-
τοῦ ναασσών, τοῦ ἀμιναδάβ, τοῦ ἀράμ, τοῦ ἐσ- 33
ron, * Phares, * Iudæ, * Iacob, * Isaac,
ρώμ, τοῦ φαρές, τοῦ ἰούδα, τοῦ ἰακώβ, τοῦ ἰσαάκ, 34
* Abrahæ, * Thare, * Nachor, * Saruc,
τοῦ ἀβραάμ, τοῦ θάρα, τοῦ ναχώρ, τοῦ σαρούχ, 35
* Ragau, * Phaleg, * Heber, * Sale,
τοῦ ῥαγαῦ, τοῦ φαλέκ, τοῦ ἕβερ, τοῦ σαλά,
* Caïnan, * Arphaxad, * Sem, * Noë,
τοῦ καϊνάν, τοῦ ἀρφαξάδ, τοῦ σήμ, τοῦ νῶε, 36
* Lamech, * Mathusale, * Henoch, * Ia-
τοῦ λάμεχ, τοῦ μαθουσάλα, τοῦ ἐνώχ, τοῦ ἰα- 37
red, * Malaleel, * Caïnan, * Henos, *
ρέδ, τοῦ μαλελεήλ, τοῦ καϊνάν, τοῦ ἐνώς, τοῦ 38
Seth, * Adam, * Dei.
σήθ, τοῦ ἀδάμ, τοῦ θεοῦ.

‡ quum baptizaretur omnis populus | * est | * ἀνοίγω | ‡ descendit Spiritus sanctus | † columbæ | * vox | ‡ facta est | * εὐδοκέω | * vt putabatur | * qui fuit | * qui fuit | * qui fuit | * qui fuit

CAP. IIII. Δ.

Iesus autem plenus Spiritu sancto regressus est
1 Ἰησοῦς δὲ πλήρης πνεύματος ἁγίου ὑπέστρεψεν
à Iordane: & agebatur in Spiritu in ‡de-
ἀπὸ τοῦ ἰορδάνου· καὶ ἤγετο ἐν τῷ πνεύματι εἰς τὴν ἔ-
sertum, Diebus quadraginta *tentatus
ρημον, ἡμέρας τεσσαράκοντα πειραζόμενος 2
à diabolo: Et ‡non manducauit quicquam in die-
ὑπὸ τοῦ διαβόλου· καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέ-
bus illis: & consummatis illis: postea
ραις ἐκείναις· καὶ συντελεσθεισῶν αὐτῶν, ὕστερον
esuriit. Et dixit † illi diabolus: Si filius es
ἐπείνασε, καὶ εἶπεν αὐτῷ ὁ διάβολος, εἰ υἱὸς εἶ 3
Dei, dic lapidi huic vt fiat panis.
τοῦ θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος.

‡ desertū | * & tentabatur | ‡ nihil | † autem

καὶ ἀπε-

Et respondit Iesus ad illum, dicens: Scri-
καὶ ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτὸν, λέγων, Γέ- 4
ptum est, Quia non in pane solo viuet ho-
γραπται, ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄν-
mo, sed in omni verbo Dei. Et † sub-
θρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι θεοῦ. καὶ ἀνα- 5
ducens illum diabolus in montem excelsum, ostendit
γαγὼν αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν, ἔδειξεν
illi omnia regna ‡ habitata in pun-
αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης ἐν στι-
cto temporis: Et ait illi diabolus: Tibi dabo
γμῇ χρόνου. καὶ εἶπεν αὐτῷ ὁ διάβολος, σοὶ δώσω 6
‡ auctoritatem hanc vniuersam, & gloriam illorum: quia
τὴν ἐξουσίαν ταύτην ἅπασαν, καὶ τὴν δόξαν αὐτῶν· ὅτι
mihi tradita | est, & cui volo do † eam.
ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν.
Tu ergo si * adoraueris coram me, erunt
σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιόν μου, ἔσται 7
tua omnia. Et respondens illi dixit Iesus:
σοῦ πάντα. καὶ ἀποκριθεὶς αὐτῷ εἶπεν ὁ Ἰησοῦς, 8
Abscede retro me satana: Scriptum est: Ado-
ὕπαγε ὀπίσω μου σατανᾶ· γέγραπται, προσ-
rabis Dominum Deum tuum, & illi soli ser-
κυνήσεις κύριον τὸν θεόν σου, καὶ αὐτῷ μόνῳ λατρεύ-
uies: Et duxit illum in Ierusalem, & sta-
σεις. καὶ ἤγαγεν αὐτὸν εἰς Ἱερουσαλὴμ, καὶ ἔστη- 9
tuit eum super pinnam templi: & dixit il-
σεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ εἶπεν αὐ-
li: Si filius es Dei, ‡ iace teipsum hinc deor-
τῷ, εἰ ὁ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κά-
sum: Scriptum est enim, quod angelis suis ‡ man-
τω. γέγραπται γὰρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐν- 10
dabit de te | custodire te: Et quia in
τελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε. καὶ ὅτι ἐπὶ 11
manibus tollent te, ne forte offendas ad lapi-
χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λί-
dem pedem tuum. Et respondens ait illi Ie-
θον τὸν πόδα σου. καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰη- 12
sus, Quod dictum est: Non tentabis Dominum Deum
σοῦς, ὅτι εἴρηται, οὐκ ἐκπειράσεις κύριον τὸν θεόν
tuum. Et † finiens omnem tentationem, diabo-
σου. καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβο- 13
lus, recessit ab illo vsque ad tempus. Et regres-
λος, ἀπέστη ἀπ' αὐτοῦ ἄχρι καιροῦ. καὶ ὑπέ- 14
sus est Iesus in virtute Spiritus in
στρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς
Galilæam: & fama exiit per vniuersam circa
τὴν Γαλιλαίαν, καὶ φήμη ἐξῆλθε καθ' ὅλης τῆς περι-
regionem de illo. Et ipse docebat in
χώρου περὶ αὐτοῦ. καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς 15
synagogis eorum, * glorificatus ab omnibus.
συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων.
Et venit in Nazareth, vbi erat nutritus:
καὶ ἦλθεν εἰς τὴν Ναζαρὲτ, οὗ ἦν * τεθραμμένος, 16
& intrauit secundùm ‡ consuetum sibi, in die
καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ, ἐν τῇ ἡμέρᾳ τῶν
‡ Sabbatorum in synagogam: & surrexit le-
σαββάτων εἰς τὴν συναγωγὴν, καὶ ἀνέστη ἀνα-
gere. Et traditus est illi liber Esaiæ
γνῶναι. καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἠσαΐου τοῦ 17
prophetæ. Et | explicans librum, inuenit lo-
προφήτου· καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε τὸν τό-
cum vbi erat scriptum: Spiritus Domini super
πον οὗ ἦν γεγραμμένον· πνεῦμα κυρίου ἐπ' 18
me, † cuius gratia vnxit me, euangelizare pauperibus
ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς
misit me, sanare contritos
ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους
corde, Prædicare captiuis remissio-
τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφε- 19
nem, & cæcis * restitutionem visus, legare confra-
σιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι * τεθραυσ-

† duxit
‡ &
‡ orbis terræ in momento
‡ potestatem
| fuat,
† illa.
‡ procidēs
‡ mitte
‡ mādauit
‡ vt conseruent
† consummata omni tentatione,
* & magnificabatur
* τρέφεται
‡ consuetudinem suam,
‡ Sabbati
| vt reuoluit
† propter quod
* visum dimittere
* θραύω

ctos in remissionem, prædicare annum Domini acceptum.
μένους ἐν ἀφέσει, κηρύξαι ἐνιαυτὸν κυρίου δεκτόν.
Et ‡ plicans librum, ‡ reddens ministro
καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, 20
sedit. Et omnium in synagoga ocu-
ἐκάθισε· καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλ-
li erant intendentes † ei. Cœpit autem dicere
μοὶ ἦσαν ἀτενίζοντες αὐτῷ. ἤρξατο δὲ λέγειν 21
ad illos: Quia hodie impleta est scriptura
πρὸς αὐτοὺς, ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ
hæc in auribus vestris. Et omnes * testifica-
αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. καὶ πάντες ἐμαρτύ- 22
bantur ei, & mirabantur in verbis gra-
ρουν αὐτῷ, καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χά-
tiæ, ‡ exeuntibus ex ore ipsius,
ριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ,
& dicebant: Nonne hic est filius Ioseph? Et ait
καὶ ἔλεγον, οὐχ οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ; καὶ εἶπε 23
‡ ad illos: Omninò dicetis mihi similitudinem
πρὸς αὐτοὺς, πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν
hanc, Medice, cura teipsum: quanta audiui-
ταύτην, ἰατρὲ, θεράπευσον σεαυτόν· ὅσα ἠκούσα-
mus facta in Capharnaum, fac & hic
μεν γενόμενα ἐν τῇ Καπερναοὺμ, ποίησον καὶ ὧδε
in patria tua. Ait autem, Amen dico vobis,
ἐν τῇ πατρίδι σου. εἶπε δὲ, ἀμὴν λέγω ὑμῖν, 24
quia nemo Propheta acceptus est in patria
ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι
sua. In veritate dico vobis, Multæ viduæ
αὐτοῦ. ἐπ' ἀληθείας λέγω ὑμῖν, πολλαὶ χῆραι 25
erant in diebus Eliæ in Israël, quando
ἦσαν ἐν ταῖς ἡμέραις Ἠλίου ἐν τῷ Ἰσραὴλ, ὅτε
clausum est cælum | ad annos tres & menses sex,
ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ,
vt facta esset fames magna in † omnem terram:
ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν·
Et ad nullam illarum missus est Elias, * si
καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας, εἰ 26
non in Sarepta ‡ Sidonis, ad mulierem viduam.
μὴ εἰς Σάρεπτα τῆς Σιδῶνος, πρὸς γυναῖκα χήραν.
Et multi leprosi erant sub Elisæo Pro-
καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ Ἐλισσαίου τοῦ προ- 27
pheta in Israël, & nemo ‡ ex ijs munda-
φήτου ἐν τῷ Ἰσραὴλ, καὶ οὐδεὶς αὐτῶν ἐκαθα-
tus est, | si non Neeman Syrus. Et repleti sunt
ρίσθη εἰ μὴ Νεεμὰν ὁ Σύρος. καὶ ἐπλήσθησαν 28
omnes ira in synagoga, audientes hæc.
πάντες θυμοῦ ἐν τῇ συναγωγῇ, ἀκούοντες ταῦτα.
Et † surgentes eiecerunt illum extra ciui-
καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς πό- 29
tatem: & duxerunt illum vsque ad supercilium montis,
λεως, καὶ ἤγαγον αὐτὸν ἕως τῆς ὀφρύος τοῦ ὄρους,
super quem ciuitas illorum erat ædificata, * ad præcipi-
ἐφ' οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρη-
tandum eum. Ipse autem transiens per medium illo-
μνίσαι αὐτόν. αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐ- 30
rum, ‡ profectus est. Et descendit in Caphernaum ciui-
τῶν, ἐπορεύετο. καὶ κατῆλθεν εἰς Καπερναοὺμ πό- 31
tatem Galilææ: ‡ & erat docens illos in
λιν τῆς Γαλιλαίας· καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς
Sabbatis. Et | percellebantur in doctrina
σάββασι. καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ 32
eius: quia in † auctoritate erat sermo ipsius. Et in
αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ. καὶ ἐν 33
synagoga erat homo habens spiritum ‡ dæ-
τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαι-
monij immundi: & exclamauit voce magna,
μονίου ἀκαθάρτου, καὶ ἀνέκραξε φωνῇ μεγάλῃ,
Dicens, Sine, quid nobis & tibi Iesu Nazarene?
λέγων, ἔα, τί ἡμῖν καὶ σοὶ Ἰησοῦ Ναζαρηνέ; 34
venisti perdere nos? scio te quis sis, sanctus
ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος

* & dicebat re-tributionis.
‡ quū plicuisset
‡ reddidit
| &
† in eum
* testimonium illi dabant:
‡ quæ prodecebant de
‡ illis
Vtique
| annis tribus, & mensibus sex, quum
* κλείω
† omnē terrā:
* nisi
‡ Sidoniæ
‡ eorum
| nisi Naaman
† surrexerunt, &
* vt præcipitarent
‡ ibat,
‡ ibique docebat
‡ stupebant
† potestate
‡ dæmonij immundum:

Dei. Et † obiurgauit illum Iesus, dicens:
τοῦ θεοῦ. καὶ ἐπετίμησεν αὐτῷ ὁ ἰησοῦς, λέγων, 35
Obmutesce, & exi ab eo. Et *proiiciens illum dæ-
φιμώθητι, καὶ ἔξελθε ἐξ αὐτοῦ. καὶ ῥίψαν αὐτὸν τὸ δαι-
monium in medium, exiit ab illo, ‡ nihil
μόνιον εἰς τὸ μέσον, ἐξῆλθεν ἀπ' αὐτοῦ, μηδὲν
nocens ei. Et factus est pauor in $ om-
βλάψαν αὐτόν. καὶ ἐγένετο θάμβος ἐπὶ πάν- 36
nes & colloquebantur ad inuicem, dicentes:
τας, καὶ συνελάλουν πρὸς ἀλλήλους, λέγοντες,
Quod * verbum hoc, quia in ‖ authoritate & efficacia im-
τίς ὁ λόγος οὗτος, ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπι-
perat immundis spiritibus, & exeunt?
τάσσει τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ ἐξέρχονται;
Et † exiit resonantia de illo in omnem locum
καὶ ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τόπον 37
circum regionis. Surgens autem *ex synagoga,
τῆς περιχώρου. ἀναστὰς δὲ ἐκ τῆς συναγωγῆς 38
introiuit in domum Simonis. Socrus autem
εἰσῆλθεν εἰς τὴν οἰκίαν σίμωνος. ἡ πενθερὰ δὲ τοῦ
Simonis ‡ erat detenta febri magna: & ro-
σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ, καὶ ἠ-
gauerunt illum $ de ea. Et adstans super
ρώτησαν αὐτὸν περὶ αὐτῆς. καὶ ἐπιστὰς ἐπάνω 39
illam, imperauit febri: & dimisit illam:
αὐτῆς, ἐπετίμησε τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν.
* Continuò autem surgens ministrabat illis. ‖ Occi-
παραχρῆμα δὲ ἀναστᾶσα διηκόνει αὐτοῖς. δύ- 40
dente autem Sole, omnes † quotquot habebant infirmos
νοντος δὲ τοῦ ἡλίου, πάντες ὅσοι εἶχον ἀσθενοῦντας
* morbis variis, ducebant illos ad eum. ‡ Verùm
νόσοις ποικίλαις, ἤγαγον αὐτοὺς πρὸς αὐτόν. ὁ δὲ
vni singulo ipsorum manus imponens, cura-
ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιθεὶς, ἐθεράπευ-
bat eos. Exibant autem & dæmonia à mul-
σεν αὐτούς. ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολ- 41
tis, clamantia & dicentia: Quia tu es Christus filius
λῶν, κράζοντα καὶ λέγοντα, ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς
Dei. Et increpans, non sinebat ea loqui, quia
τοῦ θεοῦ. καὶ ἐπιτιμῶν οὐκ * εἴα αὐτὰ λαλεῖν, ὅτι
sciebant Christum ipsum esse. Facta autem die,
ᾔδεισαν τὸν χριστὸν αὐτὸν εἶναι. γενομένης δὲ ἡμέρας, 42
egressus ibat in desertum locum: & turbæ re-
ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον· καὶ οἱ ὄχλοι ἐ-
quirebant eum, & venerunt vsq; ad ipsum: & detinebant il-
ζήτουν αὐτόν, καὶ ἦλθον ἕως αὐτοῦ, καὶ κατεῖχον αὐ-
lum. ‡ non proficisci ab eis. * Ille verò ait ad
τὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν. ὁ δὲ εἶπε πρὸς 43
eos: Quia & aliis ciuitatibus euangelizare
αὐτοὺς, ὅτι καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί
me oportet regnum Dei: quia ‖ ad hoc
με δεῖ τὴν βασιλείαν τοῦ θεοῦ· ὅτι εἰς τοῦτο
missus sum. Et erat prædicans in synago-
* ἀπέσταλμαι. καὶ ἦν κηρύσσων ἐν ταῖς συναγω- 44
gis Galilææ.
γαῖς τῆς γαλιλαίας.

CAP. V. έ.

Factum est autē * in eo turbam superiacere ei ad
Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ 1
audiendum verbum Dei, & ipse † erat stans iuxta
ἀκούειν τὸν λόγον τοῦ θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς παρὰ
stagnum Genesareth. Et vidit * duo nauigia stantia
λίμνην γεννησαρέτ. καὶ εἶδε δύο πλοῖα ἑστῶτα 2
secus stagnum: at piscatores ‡ descendentes ex
παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ'
eis, abluebant retia. Ascendens autem in
αὐτῶν, ἀπέπλυναν τὰ δίκτυα. ἐμβὰς δὲ εἰς 3
vnam $ nauium, quæ erat Simonis, rogauit eum
ἓν τῶν πλοίων, ὃ ἦν τοῦ σίμωνος, ἠρώτησεν αὐτὸν
à terra reducere pusillum. Et sedens do-
ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον. καὶ καθίσας ἐδί-

† increpauit
* quū proiecisset
‡ nihilque illum nocuit.
$ omnibus:
* est
‖ potestate & virtute
† diuulgabatur fama
* Iesus de
‡ tenebatur magnis febribus:
$ pro
* Et
‖ Quum autem Sol occidisset,
† qui
* languoribus
‡ At ille singulis
* ἐάω
‡ ne discederet
* Quibus ille ait:
‖ ideo
* ἀποστέλλομαι
* quū turbæ irruerent in eū, vt audirēt
† stabat secus
* duas naues stantes
‡ autem descenderant, & lauabant
$ nauim

cebat * ex nauigio turbas. Vt autem cessa-
4 δασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους. ὡς δὲ ἐπαύ-
uit ‖ loquens, dixit ad Simonem: Deduc
σατο λαλῶν, εἶπε πρὸς τὸν σίμωνα, ἐπανάγαγε
in altum, & laxate retia vestra in
εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς
capturam. Et respondens Simon, dixit illi: Præ-
5 ἄγραν. καὶ ἀποκριθεὶς ὁ σίμων εἶπεν αὐτῷ, ἐπι-
ceptor, per totam noctem laborantes nihil cepi-
στάτα, δι' ὅλης τῆς νυκτὸς κοπιάσαντες, οὐδὲν ἐλά-
mus: In autem verbo tuo laxabo rete.
βομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον.
Et † hoc facientes concluserunt multitudinem
6 καὶ τοῦτο ποιήσαντες συνέκλεισαν πλῆθος
piscium * multam. dirumpebatur autem rete eorum.
ἰχθύων πολύ. * διερρήγνυτο δὲ τὸ δίκτυον αὐτῶν.
Et annuerunt sociis qui ‡ in alio
7 καὶ κατένευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ
nauigio, vt venientes simul caperent ipsis. Et vene-
πλοίῳ, τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς. καὶ ἦλ-
runt, & impleuerunt $ ambo nauigia, ita vt * mer-
θον, καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθί-
gi ipsa. ‖ Videns autem Simon Petrus, † accidit
8 ζεσθαι αὐτά. ἰδὼν δὲ σίμων πέτρος, προσέπεσε
genibus Iesu, dicens: Exi à me, quia
τοῖς γόνασι τοῦ ἰησοῦ, λέγων, ἔξελθε ἀπ' ἐμοῦ, ὅτι
homo peccator sum, Domine. Stupor enim * oc-
9 ἀνὴρ ἁμαρτωλός εἰμι, κύριε. θάμβος γὰρ πε-
cupauerat eum, & omnes qui cum illo ‡, in ca-
ριέσχεν αὐτόν, καὶ πάντας τοὺς σὺν αὐτῷ, ἐπὶ τῇ ἄ-
ptura piscium, quam simul ceperant. Similiter autem &
10 γρᾳ τῶν ἰχθύων, ᾗ συνέλαβον. ὁμοίως δὲ καὶ
Iacobum & Ioannem filios Zebedæi, qui erant so-
ἰάκωβον καὶ ἰωάννην υἱοὺς ζεβεδαίου, οἳ ἦσαν κοι-
cij Simonis. & ait ad Simonem Iesus:
νωνοὶ τῷ σίμωνι. καὶ εἶπε πρὸς τὸν σίμωνα ὁ ἰησοῦς,
$ Ne time: ab hoc iam homines eris capiens.
μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν.
Et * subducentes nauigia super terram,
11 καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν,
relinquentes omnia, sequuti sunt eum. Et factum
12 ἀφέντες ἅπαντα, ἠκολούθησαν αὐτῷ. καὶ ἐγέ-
est ‖ in esse ipsum in vna ciuitatum, & ecce
νετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ ἰδοὺ
vir plenus lepra: & videns Iesum, † procidens
ἀνὴρ πλήρης λέπρας, καὶ ἰδὼν τὸν ἰησοῦν, πεσὼν
in faciem *, rogauit eum, dicens: Domine, si
ἐπὶ πρόσωπον, ἐδεήθη αὐτοῦ, λέγων, κύριε, ἐὰν
vis, potes me mundare. Et extendens
13 θέλῃς δύνασαί με καθαρίσαι. καὶ ἐκτείνας
manum, tetigit eum, dicens: Volo, mun-
τὴν χεῖρα, * ἥψατο αὐτοῦ, εἰπών, θέλω· καθα-
dare. Et confestim lepra discessit ab illo.
ρίσθητι. καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ' αὐτοῦ.
Et ipse præcepit illi ‡ nemini $ dicere:
14 καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν·
sed * abiens ostende teipsum Sacerdoti, & of-
ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένε-
fer pro emundatione tua, sicut præce-
γκε περὶ τοῦ καθαρισμοῦ σου, καθὼς προσέτα-
pit Moyses, in testimonium illis. Perambulabat
15 ξε μωσῆς, εἰς μαρτύριον αὐτοῖς. * διήρχετο
autem magis sermo de illo: & conueniebant
δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ, καὶ συνήρχοντο
turbæ multæ † audire, & curari ab
ὄχλοι πολλοὶ ἀκούειν, καὶ θεραπεύεσθαι ὑπ'
ipso ab infirmitatibus suis. Ipse autem ‡ erat
16 αὐτοῦ ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν. αὐτὸς δὲ ἦν
secedens in desertis, & orans.
ὑποχωρῶν ἐν ταῖς ἐρήμοις, καὶ προσευχόμενος.
Et factum est in vna dierum, & ipse $ erat
17 καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἦν
διδά-

* de nauicula
‖ loqui,
† quū hoc fecissent,
* copiosam.
* διεῤῥήγνυμι
‡ erant in alia naui, vt venirēt & adiuuarent eos.
$ ambas nauiculas.
* penè mergerentur.
‖ Quod quum videret
† procidit ad genua
* circumdederat
‡ erant.
$ Noli timere: ex
* subductis ad terram nauibus, relictis omnibus
‖ quum esset
† &
* suam,
* ἅπτομαι
‡ vt
$ diceret
* vade
* διέρχομαι
† vt audirent, & curarentur,
‡ secedebat in desertū, & orabat.
$ sedebat

docens. Et erant sedentes Pharisaei & Legis doctores, qui †erant venientes ex omni
διδάσκων. καὶ ἦσαν καθήμενοι Φαρισαῖοι καὶ νομοδιδάσκαλοι, οἳ ἦσαν *ἐληλυθότες ἐκ πάσης

‡vico Galilaeae, & Iudaeae, & Hierusalem:
κώμης τῆς γαλιλαίας, καὶ ἰουδαίας, καὶ ἱερουσαλήμ,

& §efficacia Domini erat ‖in sanare eos.
καὶ δύναμις κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς.

18 Et ecce viri †ferentes in lecto hominem qui erat paralyticus: & quaerebant eum inferre, & ponere ante eum.
καὶ ἰδοὺ ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι ἐνώπιον αὐτοῦ.

19 Et non inuenientes qua parte inferrent illum ‡propter turbam, ascendentes super tectum, §per tegulas summiserunt eum cum ‖lectulo, in medium ante Iesum.
καὶ μὴ εὑρόντες ποίας εἰσενέγκωσιν αὐτὸν, διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα, διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ, εἰς τὸ μέσον ἔμπροσθεν τοῦ ἰησοῦ.

20 †Et videns fidem ‡eorum, dixit ei: Homo, remittuntur tibi peccata tua.
καὶ ἰδὼν τὴν πίστιν αὐτῶν, εἶπεν αὐτῷ, ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

21 Et coeperunt §ratiocinari Scribae & Pharisaei, dicentes: Quis est hic, qui loquitur blasphemias? Quis potest dimittere peccata, ‖si non solus Deus?
καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι, λέγοντες, τίς ἐστιν οὗτος, ὃς λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ θεός;

22 †Cognoscens autem Iesus ‡ratiocinationes eorum, respondens dixit ad illos, Quid §ratiocinamini in cordibus vestris?
ἐπιγνοὺς δὲ ὁ ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, ἀποκριθεὶς εἶπε πρὸς αὐτοὺς, τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν;

23 Quid est facilius dicere, Dimittuntur tibi peccata tua: an dicere: Surge & deambula?
τί ἐστιν εὐκοπώτερον εἰπεῖν, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ εἰπεῖν, ἔγειραι καὶ περιπάτει;

24 Vt autem sciatis quia ‖auctoritatem habet filius hominis in terra dimittendi peccata, ait paralytico: Tibi dico, surge: †& tollens lectulum tuum, ‡vade in domum tuam.
ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, εἶπε τῷ παραλελυμένῳ, σοὶ λέγω, ἔγειραι καὶ ἄρας τὸ κλινίδιόν σου, πορεύου εἰς τὸν οἶκόν σου.

25 Et confestim §resurgens coram illis ‖tollens in quo iacebat, † abiit in domum suam, ‡glorificans Deum.
καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν ἄρας ἐφ᾽ ᾧ κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, δοξάζων τὸν θεόν.

26 Et stupor §cepit omnes: & ‖glorificabant Deum: Et repleti sunt timore, dicentes: Quia vidimus †inopinata hodie.
καὶ ἔκστασις ἔλαβεν ἅπαντας, καὶ ἐδόξαζον τὸν θεόν, καὶ ἐπλήσθησαν φόβου, λέγοντες, ὅτι εἴδομεν παράδοξα σήμερον.

27 Et post haec exiit, & ‡conspexit publicanum nomine Leui, sedentem ad telonium, & ait illi: Sequere me.
καὶ μετὰ ταῦτα ἐξῆλθε, καὶ ἐθεάσατο τελώνην ὀνόματι λευῒν, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ εἶπεν αὐτῷ, ἀκολούθει μοι.

28 Et §relinquens omnia, surgens secutus est eum.
καὶ καταλιπὼν ἅπαντα ἀναστὰς ἠκολούθησεν αὐτῷ.

29 Et fecit conuiuium magnum Leui ei in domo sua: & erat turba publicanorum multa, & aliorum qui erant cum illis discumbentes.
καὶ ἐποίησε δοχὴν μεγάλην ὁ λευῒς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ. καὶ ἦν ὄχλος τελωνῶν πολὺς, καὶ ἄλλων οἳ ἦσαν μετ᾽ αὐτῶν κατακείμενοι.

30 Et murmurabant Scribae eorum & Pharisaei ad discipulos eius, dicentes: Quare cum publicanis & peccatoribus manducatis & bibitis?
καὶ ἐγόγγυζον οἱ γραμματεῖς αὐτῶν καὶ οἱ φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ λέγοντες, διατί μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε;

Margin: †venerant · *ἥκοντες · ‡castello · §virtus · ‖ad sanandum · †portantes · ‡praeter turba ascenderant · §& · ‖lecto · †Quorum · ‡vt vidit, · §cogitare · ‖nisi · †Vt cognouit · ‡cogitationes · §cogitatis · ‖potestatem · †tolle lectum, · ‡& · §consurgens · ‖tulit lectum · †& · ‡magnificans · §apprehendit · ‖magnificabant · †mirabilia · ‡vidit · §relictis omnibus,

31 Et respondens Iesus dixit ad illos. Non ‖usum habent sani medico, sed †male ‡habentes.
καὶ ἀποκριθεὶς ὁ ἰησοῦς εἶπε πρὸς αὐτούς, οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες.

32 Non veni vocare iustos, §sed peccatores ad poenitentiam.
οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

33 ‖Illi autem dixerunt ad eum: Quare discipuli Ioannis ieiunant frequenter, & obsecrationes faciunt, similiter & Pharisaeorum: at tui ‡edunt & bibunt?
οἱ δὲ εἶπον πρὸς αὐτόν, διατί οἱ μαθηταὶ ἰωάννου νηστεύουσι πυκνὰ, καὶ δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν φαρισαίων· οἱ δὲ σοὶ ἐσθίουσι καὶ πίνουσιν;

34 †Is verò ait ad ipsos: Non potestis filios ‡thalami, in quo sponsus cum illis est, facere ieiunare?
ὁ δὲ εἶπε πρὸς αὐτοὺς, μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστι, ποιῆσαι νηστεύειν;

35 Venient autem dies, & quum ablatus fuerit ab illis sponsus, tunc ieiunabunt in illis diebus.
ἐλεύσονται δὲ ἡμέραι, καὶ ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.

36 Dicebat autem & similitudinem ad illos: Quia nemo §adiectionem vestimenti noui adijcit in vestimentum vetus: ‖si verò non, & nouum †scindit, & veteri non conuenit commissura a nouo.
ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτούς· ὅτι οὐδεὶς ἐπίβλημα ἱματίου καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν· εἰ δὲ μήγε, καὶ τὸ καινὸν σχίζει, καὶ τῷ παλαιῷ οὐ συμφωνεῖ ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ.

37 Et nemo ‡coniicit vinum nouum in vtres veteres: §si autem non, rumpet nouum vinum vtres, & ipsum effundetur, & vtres peribunt.
καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μήγε, ῥήξει ὁ νέος οἶνος τοὺς ἀσκοὺς, καὶ αὐτὸς ἐκχυθήσεται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται.

38 Sed vinum nouum in vtres nouos ‖iniiciendum, & vtraque conseruantur.
ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον, καὶ ἀμφότεροι συντηροῦνται.

39 Et nemo bibens vetus, statim vult nouum: dicit enim, Vetus †vtilius est.
καὶ οὐδεὶς πιὼν παλαιὸν, εὐθέως θέλει νέον· λέγει γάρ, ὁ παλαιὸς χρηστότερός ἐστιν.

Margin: ‖egent qui sani sunt, · †qui · ‡habent. · §At · ‖autem · †Quibus ipse ait: Numquid · ‡sponsi dum · §committit frustum à nouo vestimento immittit · ‖alioquin · †rumpit, · ‡mittit · §alioquin · ‖mittendum est; · †melius

CAP. VI. ϛ.

1 Factum est autē in Sabbato secundo primo, ‡transire ipsum per sata: & vellebant discipuli eius spicas, & manducabant, confricantes manibus.
Ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ διαπορεύεσθαι αὐτὸν διὰ τῶν σπορίμων· καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας, καὶ ἤσθιον, ψώχοντες ταῖς χερσί.

2 Quidam autem Pharisaeorum dicebant illis: Quid facitis quod non licet facere in Sabbatis?
τινὲς δὲ τῶν φαρισαίων εἶπον αὐτοῖς, τί ποιεῖτε ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι;

3 Et respondens ad eos, dixit Iesus: Nec hoc legistis quod fecit Dauid, quum esuriisset ipse, & ‡cum ipso existentes.
καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ ἰησοῦς, οὐδὲ τοῦτο ἀνέγνωτε ὃ ἐποίησε δαβὶδ, ὁπότε ἐπείνασεν αὐτὸς, καὶ οἱ μετ᾽ αὐτοῦ ὄντες;

4 Quomodo intrauit in domum Dei, & panes propositionis sumpsit & manducauit, & dedit & his §cum ipso ‖, quos non licet manducare †si non solos Sacerdotes?
ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔλαβε καὶ ἔφαγε, καὶ ἔδωκε καὶ τοῖς μετ᾽ αὐτοῦ, οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς;

5 Et dicebat illis: Quia dominus est filius hominis
καὶ ἔλεγεν αὐτοῖς, ὅτι κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου

Margin: ‡quum transiret · ‡qui cum illo erant; · §qui erant, · †nisi tantum Sacerdotibus

† etiam — † & Sabbati. Factum est autē in alio Sabba-
καὶ τ̃ σαββάτου. ἐγένετο δὲ ἐν ἑτέρῳ σαββά- 6
* vt intraret — to, * intrare ipsum in synagogam. &
τῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγήν, καὶ
‡ doceret. — ‡ docere. Et erat ibi homo, & manus eius
διδάσκειν· καὶ ἦν ἐκεῖ ἄνθρωπος, καὶ ἡ χεὶρ αὐτοῦ ἡ
dextera erat arida. Obseruabant autem Scribæ
δεξιὰ ἦν ξηρά. παρετήρουν δὲ οἱ γραμματεῖς 7
& Pharisæi si in Sabbato cura-
καὶ οἱ Φαρισαῖοι εἰ ἐν τῷ σαββάτῳ θεραπεύ-
§ vnde accusarent eum — ret eum: vt inuenirent ‡ accusationem ipsius: Ipse
σει αὐτὸν, ἵνα εὕρωσι κατηγορίαν αὐτοῦ. αὐτὸς 8
‖ cogitationes — verò sciebat ‖ ratiocinationes eorum: & ait ho-
* εἶπε — δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν· καὶ εἶπε τῷ ἀν-
† qui habebat — mini aridam † habenti manum: Surge, & sta
θρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα, ἔγειραι, καὶ στῆθι
* Et ‡ autem — in medium. Is autem surgens, stetit. Ait ‡ ergo Ie-
εἰς τὸ μέσον. ὁ δὲ ἀναστὰς ἔστη. εἶπεν οὖν ὁ Ἰη- 9
§ Interrogo vos, si — sus ad illos: § Interrogabo vos, quid licet
σοῦς πρὸς αὐτοὺς, ἐπερωτήσω ὑμᾶς, τί ἔξεστι τοῖς
Sabbatis, benefacere, an malefacere? animam
σάββασιν, ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν
‖ saluam facere, † perdere? — ‖ seruare, an † occidere? Et * circumspiciens om-
σῶσαι, ἢ ἀπολέσαι; καὶ περιβλεψάμενος πάν- 10
* circumspectis omnibus, — nes eos, dixit homini: Extende ma-
τας αὐτοὺς, εἶπε τῷ ἀνθρώπῳ, ἔκτεινον τὴν χεῖ-
‡ Et extendit: — num tuā ‡ Is autem fecit ita & restituta est
ρά σου. ὁ δὲ ἐποίησεν οὕτω. καὶ * ἀποκατεστάθη ἡ
* ἀποκαθίσημι — manus eius sana vt altera. Ipsi autem repleti sunt
χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη. αὐτοὶ δὲ ἐπλήσθησαν 11
§ insipientia: — § amentia & colloquebantur ad inuicem: quidnam face-
ἀνοίας, καὶ διελάλουν πρὸς ἀλλήλους, τί ἂν ποιή-
‖ de — rent ‖ Iesu. Factum est autē in diebus il-
σαιεν τῷ Ἰησοῦ. ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύ- 12
lis, exiit in montem orare: & erat
ταις, ἐξῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι, καὶ ἦν
την καὶ μάρτυρα ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί
tibi: Eripiens te de ‡ populo, & Gentibus,
σοι, ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, 17
in quas § ego te mitto. Aperire oculos
εἰς οὓς ἐγώ σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς 18
eorum, * ad conuertendum à tenebris ad lucem, &
αὐτῶν, τοῦ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς
potestate Satanæ ad Deum, † ad accipiendum eos
ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν θεόν, τοῦ λαβεῖν αὐτοὺς
remissionem peccatorum, & sortem ‘ in sanctificatis,
ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις,
fide quæ in me. Vnde, rex Agrippa,
πίστει τῇ εἰς ἐμέ. ὅθεν, βασιλεῦ Ἀγρίππα, 19
non fui incredulus cælesti visioni:
οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ,
Sed his qui ‖ in Damasco primùm, & Hierosoly-
ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον, καὶ Ἱεροσολύ- 20
mis, § in omnémque regionem Iudææ, & Gen-
μοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθ-
tibus annunciabam * pœnitere, & conuerti ad
νεσιν ἀπαγγέλλων μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ
Deum, digna pœnitentiæ opera facientes.
τὸν θεὸν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας.
‖ Causa horum me Iudæi † comprehendentes in
ἕνεκα τούτων με οἱ Ἰουδαῖοι συλλαβόμενοι ἐν 21
templo, ‘ tentabant † interficere. ‡ Auxilium
τῷ ἱερῷ, ἐπειρῶντο διαχειρίσασθαι. ἐπικουρίας 22
igitur nactus à Deo, vsque in diem
οὖν τυχὼν τῆς παρὰ τοῦ θεοῦ, ἄχρι τῆς ἡμέρας
§ hanc sto, testificans * paruóque & ma-
ταύτης ἕστηκα, μαρτυρούμενος μικρῷ τε καὶ με-
gno, nihil extrà dicens ‖ eorum quæ & Prophetæ loquu-
γάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλά-
ti sunt † futurorum esse, & Moyses: Si passibilis
λησαν μελλόντων γίνεσθαι, καὶ Μωσῆς· εἰ παθητὸς 23
Christus, si primus ex resurrectione mortuorum, lumē
ὁ Χριστός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς
* futurus est annunciare populo & Gentibus.
μέλλει καταγγέλλειν τῷ λαῷ καὶ τοῖς ἔθνεσι.
‡ Hæc autem eo ‡ defendente, Festus magna
ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου, ὁ Φῆστος μεγάλῃ 24

voce dixit, Insanis Paule: multæ te li-
τῇ φωνῇ ἔφη, Μαίνῃ Παῦλε· τὰ πολλά σε γράμ-
teræ ad insaniam conuertunt. § Ille verò, Non insa-
ματα εἰς μανίαν περιτρέπει. ὁ δὲ, Οὐ μαίνο- 25
nio, inquit, optime Feste, sed veritatis & sobrie-
μαι, φησί, κράτιστε Φῆστε, ἀλλ' ἀληθείας καὶ σωφρο-
tatis verba eloquor. Scit enim
σύνης ῥήματα ἀποφθέγγομαι. ἐπίσταται γὰρ 26
de his rex, ad quem & * libertate
περὶ τούτων ὁ βασιλεύς, πρὸς ὃν καὶ παρρησιαζό-
vsus eloquor: latere enim eum ‖ quicquam horū non ar-
μενος λαλῶ· λανθάνειν γὰρ αὐτόν τι τούτων οὐ πεί-
bitror: neque enim in angulo gestum † hoc est.
θομαι οὐδέν· οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο.
Credis rex Agrippa Prophetis?
πιστεύεις, βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; 27
scio quia credis. Ipse autem Agrippa ad
οἶδα ὅτι πιστεύεις. ὁ δὲ Ἀγρίππας πρὸς 28
Paulum ait: In * paruo me suades Christianum fie-
Παῦλον ἔφη, Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέ-
ri. ‡ At Paulus ait: ‡ Optarim vtique
σθαι. ὁ δὲ Παῦλος εἶπεν, Εὐξαίμην ἂν τῷ 29
Deo, & in * paruo & in ‖ multo, non † solùm te, sed &
θεῷ, καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ, οὐ μόνον σὲ, ἀλλὰ καὶ
omnes ‘ audientes me hodie, fieri ta-
πάντας τοὺς ἀκούοντάς μου σήμερον, γενέσθαι τοιού-
les, qualis & ego sum, exceptis vinculis his.
τους ὁποῖος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων.
Et hæc dicente eo, exsurrexit rex, &
καὶ ταῦτα εἰπόντος αὐτοῦ, ἀνέστη ὁ βασιλεύς, καὶ 30
Præses, & Bernice, & § considentes eis.
ὁ ἡγεμὼν, ἥ τε Βερνίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς.
Et § secedentes loquebantur ad inuicem,
καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους, 31
dicentes, Quia nihil morte dignum aut vinculis * fa-
λέγοντες, ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν πράσ-
cit homo iste. Agrippa autem Fe-
σει ὁ ἄνθρωπος οὗτος. Ἀγρίππας δὲ τῷ Φή- 32
sto dixit: Dimitti poterat homo hic,
στῳ ἔφη, Ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος,
si non appellasset Cæsarem.
εἰ μὴ ἐπεκέκλητο Καίσαρα.

CAP. XXVII. κζ.

Vt autē iudicatum est nauigare nos in Ita-
1 ΩΣ δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰτα-
liam, ‖ tradiderunt & Paulum, † & quosdam alios
λίαν, παρεδίδουν τόν τε Παῦλον καί τινας ἑτέρους
vinctos centurioni, nomine Iulio, cohortis
δεσμώτας ἑκατοντάρχῃ, ὀνόματι Ἰουλίῳ, σπείρης
Augustæ. Ascendentes autem nauem Adramytenam,
2 Σεβαστῆς. ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ,
‘ futuri nauigare quæ circa ‡ Asiam loca, § sustuli-
μέλλοντες πλεῖν τοὺς κατὰ τὴν Ἀσίαν τόπους, ἀνή-
mus, existente cum nobis Aristarcho Macedone Thes-
χθημεν, ὄντος σὺν ἡμῖν Ἀριστάρχου Μακεδόνος Θεσ-
salonicensi. * Ipsáque altera deuenimus in Si-
3 σαλονικέως. τῇ τε ἑτέρᾳ κατήχθημεν εἰς Σι-
donem. humanè ‖ que Iulius † Paulo v-
δῶνα. φιλανθρώπως τε ὁ Ἰούλιος τῷ Παύλῳ χρη-
sus, permisit ad amicos ‘ euntem
σάμενος, ἐπέτρεψε πρὸς τοὺς φίλους πορευθέντα,
curam sui ‡ nancisci. Et indè § [unclear] subna-
4 ἐπιμελείας τυχεῖν. κἀκεῖθεν ἀναχθέντες, ὑπε-
uigauimus Cyprum, * propter hoc, ventos
πλεύσαμεν τὴν Κύπρον, διὰ τὸ, τοὺς ἀνέμους
esse contrarios. Hócque pelagus quod iuxta ‖ Ci-
5 εἶναι ἐναντίους. τό τε πέλαγος τὸ κατὰ τὴν Κι-
liciam & Pamphyliam pernauigantes, † de-
λικίαν καὶ Παμφυλίαν διαπλεύσαντες, κα-
lati sumus in Myra, ipsius Lyciæ. Et ibi inueniens
6 τήλθομεν εἰς Μύρα τῆς Λυκίας. κἀκεῖ εὑρὼν

Marginal notes (left): † & amplius * in eos, § donec etiā; § permissu principum; * in via ‖ de cælo; † circumfulsisse; ‘ mecū simul erant. Omnesque nos quum decidissemus; ‡ mihi; § ad stimulum; * Dominus; ‖ vt constituam * ἐπὶ ἐμοὶ; † eorum, quæ * & eorum quibus; ‡ populis; § nunc; * vt conuertantur; ‖ de † vt accipiant ‘ inter sanctos, per fidem quæ est; ‖ sunt Damasci; § &; * vt pœnitentiam agerent, & conuerterentur; ‖ Hæc ex † quum essem ‘ comprehensum † volentes me ‡ Auxilio autē adiutus Dei. * τυχὼν; § hodiernum * minori atque maiori, ‖ quām ea quæ † futura; * annūciaturus est; ‖ loquēte, & rationē reddente.

Marginal notes (right): § Et Paulus; * constanter ‖ nihil † quicquā horum; * modico; ‡ Et ‡ Opto à pud Deū, * εὔχομαι * modico, ‖ magno, † tantùm ‘ qui audiunt; § qui assidebant; § quum secessissent, * quid fecit; * χρηματίζω ‖ & tradiderunt ‡ cum reliquis custodiis; ‘ incipientes ‡ Asiæ § sustulimus, perseuerante nobiscum * Sequenti autem die ‖ autem † Paulum tractans, ‘ ire, & ‡ agere. § quum sustulissemus. * propterea quòd vēti essent contrarij. ‖ Et ‖ Ciliciæ & Paphyliz. † venimus Lystram, quæ est

centurio nauem Alexandrinam nauigantem in
ὁ ἑκατόνταρχος πλοῖον ἀλεξανδρῖνον πλέον εἰς
Italiam, † imposuit nos in eam. * In
τὴν ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. ἐν 7
multis autem diebus tardè ‡ nauigantes, & vix § deuenientes secundùm Cnidum, non permittente nos
ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι κατὰ τὴν κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ
vento, * subnauigauimus Cretam secundùm Salmonem.
ἀνέμου, ὑπεπλεύσαμεν τὴν κρήτην κατὰ σαλμώνην.
‖ Vixque † prætérlegentes eam, venimus
μόλις τε παραλεγόμενοι αὐτὴν, ἤλθομεν 8
in locum quendam * vocatum Pulchros portus, cui iuxta erat ciuitas ‡ Lasæa.
εἰς τόπον τινὰ καλούμενον καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν πόλις λασαία.
Multo autem tempore peracto, & existente iam * periculosa nauigatione, propter
ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοὸς, διὰ τὸ 9
& ieiunium iam ‖ prætériisse, admonebat Paulus,
καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι, παρῄνει ὁ παῦλος,
Dicens eis: Viri, † Conspicio quoniã cum iniuria & multo damno, non solùm oneris &
λέγων αὐτοῖς, ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας, οὐ μόνον τοῦ φορτίου καὶ τοῦ 10
nauis, sed etiam animarum nostrarum ‡ futuram esse
πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν
‡ nauigationem. At centurio § gubernatori &
πλοῦν. ὁ δὲ ἑκατοντάρχης τῷ κυβερνήτῃ καὶ 11
nauclero credebat magis, quàm * iis à Paulo ‖ dictis.
τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον, ἢ τοῖς ὑπὸ τοῦ παύλου λεγομένοις.
Inapposito autem portu subsistente ad hyemationem, plerique posuerunt
ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείους ἔθεντο 12
consilium † subduci indè, si quo modo possent
βουλὴν ἀναχθῆναι κἀκεῖθεν, εἴ πως δύναιντο
* deuenti in Phœnicem, hyemare, portum Cretæ respicientem ad Africum & ad Chorum.
καταντήσαντες εἰς φοίνικα, παραχειμάσαι, λιμένα τῆς κρήτης βλέποντα κατὰ λίβα καὶ κατὰ χῶρον.
Adspirante autem ‡ Noto, æstimantes propositum § tenere, * soluentes Asson, legebant Cretam.
ὑποπνεύσαντος δὲ νότου, δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἆσσον, παρελέγοντο τὴν κρήτην. 13
Post non multum autem misit ‖ contra ipsam ventus Typhonicus, † vocatus Euroclydon.
μετ' οὐ πολὺ δὲ ἔβαλε κατ' αὐτῆς ἄνεμος τυφωνικὸς, ὁ καλούμενος εὐροκλύδων. 14
Correpta autem naui, & non * potente obtueri vento, concedentes ferebamur.
συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπιδιδόντες ἐφερόμεθα. 15
‡ Insulã autẽ quandã § succurrentes, * vocatam Claudam, vix potuimus ‖ compotes fieri scaphæ.
νησίον δέ τι ὑποδραμόντες, καλούμενον κλαύδην, μόλις ἰσχύσαμεν περικρατεῖς γενέσθαι τῆς σκάφης. 16
Quam subducentes, adiutoriis vtebantur, accingentes nauem, timentésque ne in Syrtim inciderent, † submittentes vas, sic ferebantur.
ἣν ἄραντες, βοηθείαις ἐχρῶντο, ὑποζωννύντες τὸ πλοῖον, φοβούμενοί τε μὴ εἰς τὴν σύρτιν ἐκπέσωσι, χαλάσαντες τὸ σκεῦος, οὕτως ἐφέροντο. 17
* Vehementer autẽ tempestate iactatis nobis, sequenti ‡ iactum fecerunt.
σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο. 18
Et tertia § nostris manibus armamenta nauis * eiecimus.
καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν. 19
Neque autem Sole, neque syderibus apparentibus per plures dies, ‖ tempestatéque non exigua
μήτε δὲ ἡλίου μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλί- 20

Margin: † transposuit. * Et quum ‡ nauigaremus, § deuenissemus cõtra Gnidũ, prohibente * adnauigauimus Cretę iuxta ‖ Et † iuxta nauigantes * qui vocatur Boni ‡ Thalassa. § quũ non esset * tuta nauigatio eo quòd ‖ prætériisset, consolabatur † Video ‡ incipit ‡ nauigatio. § autem * his quæ ‖ dicebantur. Et quũ aptus portus nõ esset ad hyemandum, plurimi statuerunt † nauigare * deuenientes ‡ Austro. § se * quum sustulissent de ‖ se † qui vocatur. Inroaquilo. Quumque arrepta esset nauis, * posset conari in vẽtum, data naue flatibus, ‖ In § de * quæ vocatur Cauda ‖ obtinere scapham. Qua sublata, * ὑποζωννύω † summisso vase, * Validè ‡ die § die suis * proiecerunt. ‖ &

gua imminente, † reliquum ablata erat omnis spes * salutis
γου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ
seruari nos. ‡ Multa autem inedia existente,
σώζεσθαι ἡμᾶς. πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, 21
tunc stans Paulus in medio eorum, dixit: Oportebat quidẽ ô viri, § obedientes mihi, non * auehi à Creta, ‖ lucrarique iniuriam hanc, & iacturam.
τότε σταθεὶς ὁ παῦλος ἐν μέσῳ αὐτῶν, εἶπεν, ἔδει μέν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι, μὴ ἀνάγεσθαι ἀπὸ τῆς κρήτης, κερδῆσαί τε τὴν ὕβριν ταύτην, καὶ τὴν ζημίαν.
Et nunc suadeo vobis bono animo esse: † iactura enim animæ * nulla erit ex vobis, præterquam nauis.
καὶ τὰ νῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου. 22
Adstitit enim mihi nocte hac angelus Dei, cuius sum ‡, cui & deseruio,
παρέστη γάρ μοι τῇ νυκτὶ ταύτῃ ἄγγελος τοῦ θεοῦ οὗ εἰμι, ᾧ καὶ λατρεύω, 23
Dicens, Ne timeas Paule, Cæsari te oportet assistere: & ecce donauit tibi Deus omnes § nauigantes cum te.
λέγων, μὴ φοβοῦ παῦλε· καίσαρί σε δεῖ παραστῆναι· καὶ ἰδοὺ κεχάρισταί σοι ὁ θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ. 24
* Ideò bono animo estote viri: credo enim Deo, quia sic erit quemadmodum dictum est mihi.
διὸ εὐθυμεῖτε ἄνδρες· πιστεύω γὰρ τῷ θεῷ, ὅτι οὕτως ἔσται καθ' ὃν τρόπον λελάληταί μοι. 25
In insulã autẽ quandã oportet nos ‖ incidere.
εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν. 26
† Vt verò quartadecima nox * facta est, perlatis nobis in Adria circa ‡ mediam noctem, suspicabantur nautæ § afferri aliquam sibi regionem.
ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, διαφερομένων ἡμῶν ἐν τῷ ἀδρίᾳ κατὰ μέσον τῆς νυκτὸς, ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν. 27
* Et bolisantes inuenerunt passus viginti: ‖ breui autem distantes, & rursum bolisantes, inuenerunt passus quindecim.
καὶ βολίσαντες εὗρον ὀργυιὰς εἴκοσι· βραχὺ δὲ διαστήσαντες, καὶ πάλιν βολίσαντες, εὗρον ὀργυιὰς δεκαπέντε. 28
Timentésque ne quomodo in aspera loca incideremus, de puppi * proiicientes ancoras quatuor, optabant diem fieri.
φοβούμενοί τε μήπως εἰς τραχεῖς τόπους ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας, ηὔχοντο ἡμέραν γενέσθαι. 29
Ipsis verò nautis quærentibus fugere ‡ ex naui, § laxantibus scapham in mare, * obtentu quasi ‖ è prora † futurorum ancoras extendere.
τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν. 30
Dixit Paulus centurioni, & militibus: ‡ Si non hi manserint in naui, vos § seruari non potestis.
εἶπεν ὁ παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις, ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. 31
Tunc milites absciderunt funes scaphæ, & * sinerunt eam excidere.
τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν. 32
‖ Vsque autẽ quo futurus erat dies fieri, † hortabatur Paulus omnes sumere cibum, dicens: Quartamdecimam hodie diem expectantes ieiuni permanetis, nihil accipientes.
ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων, τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατελεῖτε, μηδὲν προσλαβόμενοι. 33
‡ Ideo hortor vos accipere cibum: § hoc enim ad vestram salutem est: nullius enim vestrum capillus ‖ ex capite
διὸ παρακαλῶ ὑμᾶς προσλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς 34
* πεσεῖ-

Margin: † iam salutis nostræ * περιαιρέω ‡ Et quum multa ieiunatio fuisset, § audito me, * tollere ‖ lucrique facere † amissio * nullius ‡ ego, & ‡ qui nauigant tecum * Propter quod, ‖ deuenire. † Sed postquam * superuenit, nauigantibus ‡ mediam noctem, § apparere * Qui & summittentes bolidem, ‖ & pusillum indè separati, † autem * mitterẽt ‡ de § quũ mitterent * sub ‖ à † inciperent ‡ Nisi § salui fieri * passi sunt ‖ Et quum lux inciperet † rogabat ‡ Propter quod rogo § pro salute vestra: quia ‖ de

Dicens autem hæc, & sumens panem, gra-
πεσεῖται. 35 Εἰπὼν δὲ ταῦτα, καὶ λαβὼν ἄρτον, εὐ-
tias egit Deo in conspectu omnium: & frangens cœ-
χαρίστησε τῷ θεῷ ἐνώπιον πάντων· καὶ κλάσας ἤρ-
pit manducare. Boni animi autem facti omnes, & i-
ξατο ἐσθίειν. 36 εὔθυμοι δὲ γενόμενοι πάντες, καὶ αὐ-
psi assumpserunt cibum. Eramus verò in naui
τοὶ προσελάβοντο τροφῆς. 37 ἦμεν δὲ ἐν τῷ πλοίῳ
vniuersæ animæ ducentæ septuaginta sex. Sa-
αἱ πᾶσαι ψυχαὶ διακόσιαι ἑβδομηκονταέξ. 38 κο-
tiati autem cibo, alleuiabant nauem, eii-
ρεσθέντες δὲ τροφῆς, ἐκούφιζον τὸ πλοῖον, ἐκβαλ-
cientes triticum in mare. Quũ autẽ
λόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν. 39 ὅτε δὲ
dies factus esset, terram non agnoscebant: sinum
ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον, κόλπον
vero quendã considerabant habentem litus, in quem co-
δέ τινα κατενόουν ἔχοντα αἰγιαλόν, εἰς ὃν ἐβου-
gitabant, si possent, expellere nauem. Et
λεύσαντο, εἰ δύναιντο, ἐξῶσαι τὸ πλοῖον. 40 καὶ
ancoras sustollentes, permiserunt in mari.
τὰς ἀγκύρας περιελόντες, εἴων εἰς τὴν θάλασσαν,
simul laxantes iuncturas gubernaculorum: &
ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων· καὶ
sustollentes artemonem flanti, tendebant ad
ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ, κατεῖχον εἰς
litus. Incidentes autem in locum bi-
τὸν αἰγιαλόν. 41 περιπεσόντες δὲ εἰς τόπον διθά-
marem, illiserunt nauem: & quidem prora
λασσον, ἐπώκειλαν τὴν ναῦν· καὶ ἡ μὲν πρῶρα
fixa manebat immobilis, at puppis soluebatur
ἐρείσασα ἔμεινεν ἀσάλευτος, ἡ δὲ πρύμνα ἐλύετο
a vi fluctuum. Militum
ὑπὸ τῆς βίας τῶν κυμάτων. 42 τῶν δὲ στρατιωτῶν
consilium fuit, vt vinctos occiderent, ne
βουλὴ ἐγένετο, ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μή
quis enatans effugeret. At centu-
τις ἐκκολυμβήσας διαφύγοι. 43 ὁ δὲ ἑκατόνταρ-
rio volens seruare Paulum, prohibuit
χος βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώλυσεν
eos consilio. iussitque poten-
αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέ τε τοὺς δυνα-
tes natare abiicientes primos, ad
μένους κολυμβᾷν, ἀποῤῥίψαντας πρώτους ἐπὶ
terram exire: Et reliquos hos quidem in ta-
τὴν γῆν ἐξιέναι· 44 καὶ τοὺς λοιποὺς οὓς μὲν ἐπὶ σα-
bulis, hos autẽ super quædã eorum quæ de naui. & sic
νίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου. καὶ οὕτως
factum est, omnes perseruari ad terram.
ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.

CAP. XXVIII. κη'.

Et salui euasi, tunc cognouerunt quia Melita
1 ΚΑὶ διασωθέντες, τότε ἐπέγνωσαν ὅτι Μελίτη ἡ
insula vocabatur. at Barbari præstabant non vul-
νῆσος καλεῖται. 2 οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυ-
garem humanitatem nobis. Accendentes enim
χοῦσαν φιλανθρωπίαν ἡμῖν. ἀνάψαντες γὰρ
pyram acceperunt omnes nos propter im-
πυράν, προσελάβοντο πάντας ἡμᾶς διὰ τὸν ὑε-
brem instantem, & propter frigus. Congregante
τὸν τὸν ἐφεστῶτα, καὶ διὰ τὸ ψῦχος. 3 συστρέψαντος
autem Paulo sarmentorum multitudinem, & imponente
δὲ τοῦ Παύλου φρυγάνων πλῆθος, καὶ ἐπιθέντος
super pyram, vipera à calore exiens
ἐπὶ τὴν πυράν, ἔχιδνα ἐκ τῆς θέρμης ἐξελθοῦσα
inuasit manum eius. Vt verò viderunt Bar-
καθῆψε τῆς χειρὸς αὐτοῦ. 4 ὡς δὲ εἶδον οἱ βάρ-
bari pendentem bestiam de manu eius, di-
βαροι κρεμάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔ-
cebant ad inuicem: Omnino homicida est ho-
λεγον πρὸς ἀλλήλους, πάντως φονεύς ἐστιν ὁ ἄν-
mo hic, quem saluum euasum de mari,
θρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάσσης, ἡ
vltio viuere non siuit. Ille quidẽ ergo excutiens
δίκη ζῆν οὐκ εἴασεν. 5 ὁ μὲν οὖν ἀποτινάξας τὸ
bestiam in ignem, passus est nullum malum. Illi autẽ
θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν. 6 οἱ δὲ
expectabant eum futurum inflammari, aut deci-
προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι, ἢ κατα-
dere repente mortuum. in multo autem illis expectan-
πίπτειν ἄφνω νεκρόν. ἐπὶ πολὺ δὲ αὐτῶν προσδο-
tibus, & videntibus nihil incommodum in illum
κώντων, καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν
fieri, mutati dicebant Deum eum esse.
γινόμενον, μεταβαλλόμενοι ἔλεγον θεὸν αὐτὸν εἶναι.
In autẽ illis quæ circa locum illum erant prædia
7 ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχε χωρία
primario insulæ, nomine Publio: qui susci-
τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ, ὃς ἀναδε-
piens nos, tres dies amicè hospitio ex-
ξάμενος ἡμᾶς, τρεῖς ἡμέρας φιλοφρόνως ἐξέ-
cepit. Factum est autem patrem Publij febribus
νισεν. 8 ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου πυρετοῖς
& dysenteria detentum decumbere: ad quem
καὶ δυσεντερίᾳ συνεχόμενον κατακεῖσθαι· πρὸς ὃν
Paulus ingressus, & precatus, imponens
ὁ Παῦλος εἰσελθὼν καὶ προσευξάμενος, ἐπιθεὶς
manus ei, sanauit eum. Hoc ergo fa-
τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν. 9 τούτου οὖν γενο-
cto, & reliqui habentes infirmitates in in-
μένου, καὶ οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας ἐν τῇ νή-
sula, accedebant, & curabantur. Qui etiã mul-
σῳ, προσήρχοντο, καὶ ἐθεραπεύοντο. 10 οἳ καὶ πολ-
tis honoribus honorauerunt nos, & nauigantibus impo-
λαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένοις ἐπέ-
suerunt quæ ad vsum. Post autem tres menses
θεντο τὰ πρὸς τὴν χρείαν. 11 μετὰ δὲ τρεῖς μῆνας
nauigauimus in naui quæ hyemauerat in insula,
ἀνήχθημεν ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ,
Alexandrina, insignata Castoris & Pollucis. Et de-
Ἀλεξανδρίνῳ, παρασήμῳ Διοσκούροις. 12 καὶ κα-
ducti in Syracusas, mansimus dies
ταχθέντες εἰς Συρακούσας, ἐπεμείναμεν ἡμέρας
tres. Vnde circumuenientes deuenimus in Rhe-
τρεῖς. 13 ὅθεν περιελθόντες κατηντήσαμεν εἰς Ῥή-
gium: & post vnum diem adueniente Austro, se-
γιον· καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου, δευ-
cundanei venimus in Puteolos. Vbi inuenientes fra-
τεραῖοι ἤλθομεν εἰς Ποτιόλους· 14 οὗ εὑρόντες ἀδελ-
tres, rogati sumus apud eos manere dies
φούς, παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας
septem: & sic in Romam venimus. Et
ἑπτά· καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθομεν. 15 κἀ-
inde fratres audientes ea quæ de nobis, exie-
κεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλ-
runt in occursum nobis vsque ad Appij forum, &
θον εἰς ἀπάντησιν ἡμῖν ἄχρις Ἀππίου φόρου, καὶ
Tres tabernas. quos videns Paulus, gratias a-
τριῶν ταβερνῶν. οὓς ἰδὼν ὁ Παῦλος, εὐχαριστή-
gens Deo, accepit fiduciam. Quũ autẽ venissemus in
σας τῷ θεῷ, ἔλαβε θάρσος. 16 ὅτε δὲ ἤλθομεν εἰς
Romam, centurio tradidit vinctos
Ῥώμην, ὁ ἑκατόνταρχος παρέδωκε τοὺς δεσμίους
præfecto castrorum: at Paulo permissum est
τῷ στρατοπεδάρχῃ· τῷ δὲ Παύλῳ ἐπετράπη
manere per seipsum cum custodiente se mi-
μένειν καθ' ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρα-
lite. Factum est autem post dies tres conuo-
τιώτῃ. 17 ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς συγκα-
care Paulum existentes Iudæorum pri-
λέσασθαι τὸν Παῦλον τοὺς ὄντας τῶν Ἰουδαίων πρώ-
mos. Conuenientibus autem eis, dicebat ad eos:
τους. συνελθόντων δὲ αὐτῶν, ἔλεγε πρὸς αὐτούς,

Viri fratres, ego nihil † contrarium faciens
ἄνδρες ἀδελφοί, ἐγὼ οὐδὲν ἐναντίον ποιήσας τῷ
populo, aut * moribus patriis, vinctus ‡ ex Hiero-
λαῷ, ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱερο-
solymis traditus sum in manus Romanorum.
σολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων.
Qui § examinantes me, voluerunt * dimitte-
οἵτινες ἀνακρίναντές με, ἐβούλοντο ἀπολῦ- 18
re, ‖ propter nullam causam mortis esse
σαι, διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν
in me. Contradicentibus autem Iudæis, coa-
ἐν ἐμοί. ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων, * ἠναγ- 19
ctus sum appellare Cæsarem, non quasi gen-
κάσθην ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθ-
tem meam habēs aliquid accusare. Propter hanc igitur
νους μου ἔχων τι κατηγορῆσαι. διὰ ταύτην οὖν 20
causam rogaui vos videre, & allo-
τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν, καὶ προσλα-
qui. propter enim spem Israël cate-
λῆσαι. ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυ-
nam hanc circumdatus sum. † Illi autem ad eum dixe-
σιν ταύτην περίκειμαι. οἱ δὲ πρὸς αὐτὸν εἶ- 21
runt: Nos neque literas de te accepimus
πον, ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα
à Iudæa, neque adueniens aliquis fra-
ἀπὸ τῆς Ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελ-
trum nunciauit, aut loquutus est quid de te ma-
φῶν ἀπήγγειλεν, ἢ ἐλάλησέ τι περὶ σοῦ πονη-
lum. * Digni sumus autem à te audire quæ sentis: ‡ de
ρόν. ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς· περὶ 22
quidem enim secta hac notum est nobis, quia
μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστόν ἐστιν ἡμῖν, ὅτι
vbique § contradicitur. * Constituentes autem illi
πανταχοῦ ἀντιλέγεται. ταξάμενοι δὲ αὐτῷ 23
diem, venerunt ad eum in hospitium plu-
ἡμέραν, * ἧκον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλεῖο-
res: quibus exponebat, testificans regnum
νες· οἷς ἐξετίθετο, διαμαρτυρόμενος τὴν βασιλείαν
Dei, suadēnque eis ea quæ de Iesu ex
τοῦ θεοῦ, πείθων τε αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ ἀπό τε τοῦ
lege Moysi & Prophetis, à manè vsque ad
νόμου Μωσέως καὶ τῶν προφητῶν, ἀπὸ πρωῒ ἕως
vesperam. Et ‖ hi quidem persuadebantur dictis,
ἑσπέρας. καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, 24
hi verò non credebant. † Discordes autem existentes ad in-
οἱ δὲ ἠπίστουν. ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλ- 25
uicem, discedebant, dicente Paulo verbum vnū,
λήλους, ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν,
Quia pulchrè Spiritus sanctus loquutus est per Esaiam
ὅτι καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου
Prophetam ad patres nostros, Dicens:
τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν, λέγων, 26
Vade ad populum istum, & dic: ‡ Auditu au-
πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπόν, ἀκοῇ ἀ-
dietis, & non intelligetis: & videntes videbitis,
κούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε,
& non § cernetis. Incrassatum est enim cor populi
καὶ οὐ μὴ ἴδητε. * ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ 27
huius, & auribus grauiter audierunt, & oculos
τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς
suos compresserunt, ne * quando videant oculis,
αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς,
& auribus audiant, & corde intelligant, &
καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ
conuertantur, & sanem eos. Notum ergo sit
ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. γνωστὸν οὖν ἔστω 28
vobis, quoniam Gentibus missum est salutare Dei,
ὑμῖν, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τὸ σωτήριον τοῦ θεοῦ,
ipsi & audient. Et hæc ‖ eo dicente,
αὐτοὶ καὶ ἀκούσονται. καὶ ταῦτα αὐτοῦ εἰπόντος, 29
ab erunt Iudæi, multam habentes † in seipsis
ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς

Marginalia: † aduersus plebem; * morē paternum, ‡ ab; § quū interrogatione habuissent de; * me; ‖ eo quòd nulla esset causa; * ἀναγκάζω; † At; * Rogamus; ‡ nam; § ei; * Quum cōstituissent; * ἥκω; ‖ quidam credebant his quę dicebantur, quidam; † Quumq; inuicem non essent consentiētes, ‡ bene; ‡ Aure; § perspicietis. * παχύνω; * fortè; ‖ quum dixisset, exierunt ab eo; † inter se

quæstionem. Mansit autem Paulus biennio toto in
ζήτησιν. ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην ἐν 30
* proprio conducto, & suscipiebat omnes ‡ in-
ἰδίῳ μισθώματι, καὶ ἀπεδέχετο πάντας τοὺς εἰσ-
gredientes ad eum: Prædicans re-
πορευομένους πρὸς αὐτόν· κηρύσσων τὴν βασι- 31
gnum Dei, & docens ea quæ § de Domino Iesu
λείαν τοῦ θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ κυρίου Ἰησοῦ
Christo, cum omni * libertate, improhibitè.
χριστοῦ, μετὰ πάσης παρρησίας ἀκωλύτως.

Finis Actorum sanctorum Apostolorum.
Τέλος τῶν πράξεων τῶν ἁγίων ἀποστόλων.

Marginalia: * suo; ‡ qui ingrediebantur; § sunt; * fiducia sine prohibitione.

SANCTI PAVLI
Η ΤΟΥ ΑΓΙΟΥ ΠΑΥΛΟΥ
APOSTOLI AD
ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΡΟΣ
Romanos epistola.
ῥωμαίους ἐπιστολή.

CAPVT PRIMVM. Κεφ. α.

PAVLVS seruus Iesu Christi,
1 ΠΑΥΛΟΣ δοῦλος Ἰησοῦ χριστοῦ,
vocatus Apostolus, * discretus
κλητὸς ἀπόστολος, * ἀφωρισμένος
in Euangelium Dei. Quod antè pro-
2 εἰς εὐαγγέλιον θεοῦ. ὃ προεπηγ-
miserat per Prophetas suos in scripturis san-
γείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁ-
ctis: De filio suo, ‖ facto ex semi-
3 γίαις· περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρμα-
ne Dauid secundùm carnem. † Illo definito filio Dei in
4 τος Δαβὶδ κατὰ σάρκα. τοῦ * ὁρισθέντος υἱοῦ θεοῦ ἐν
virtute, secundùm spiritum sanctificationis, ex resurrectione
δυνάμει, κατὰ πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως
mortuorum Iesu Christi Domini nostri: Per quē acce-
5 νεκρῶν Ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν· δι᾽ οὗ ἐλά-
pimus gratiam & apostolatum ad * obedientiam fidei in
βομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν
omnibus Gentibus, pro nomine eius: In
6 πᾶσι τοῖς ἔθνεσιν, ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ· ἐν
quib' estis & vos vocati Iesu Christi. Omnibus ‡ existen-
7 οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ χριστοῦ. πᾶσι τοῖς οὖ-
tibus in Roma, dilectis Dei, vocatis sanctis, gra-
σιν ἐν Ῥώμῃ, ἀγαπητοῖς θεοῦ, κλητοῖς ἁγίοις, χά-
tia vobis & pax à Deo patre nostro, & Domino
ρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου
Iesu Christo. Primùm quidem gratias ago Deo meo
8 Ἰησοῦ χριστοῦ. πρῶτον μὲν εὐχαριστῶ τῷ θεῷ μου
per Iesum Christum pro omnibus vobis, quia fides ve-
διὰ Ἰησοῦ χριστοῦ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑ-
stra annunciatur in vniuerso mundo. Testis
9 μῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. μάρτυς
enim § meus est Deus, cui seruio in spiritu
γάρ μου ἐστὶν ὁ θεός, ᾧ λατρεύω ἐν τῷ πνεύματί
meo, in Euangelio filii eius, * vt indesinenter
μου, ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως
memoriam vestri facio, Semper in oratio-
10 μνείαν ὑμῶν ποιοῦμαι, πάντοτε ἐπὶ τῶν προσευ-
nibus meis, obsecrans si quomodo iandē aliquādo prosperū iter
χῶν μου, δεόμενος εἴ πως ἤδη ποτὲ * εὐοδωθήσο-
habeā in voluntate Dei ‡ venire ad vos.
μαι ἐν τῷ θελήματι τοῦ θεοῦ, ἐλθεῖν πρὸς ὑμᾶς.
ἐπιπο-

Marginalia: * segregatus * ἀφορίζω; ‖ qui factus est ei; † qui prædestinatus est filius * ὁρίζομαι; * obediendum; ‡ qui sunt Romæ; § mihi; * quòd sine intermissione; * εὐοδόομαι; ‡ veniendi

Desidero enim videre vos, vt aliquid impertiar † do-
ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι* μεταδῶ χά- 11
num vobis * spirituale, ad † stabiliendos
ρισμα ὑμῖν πνευματικὸν εἰς τὸ* στηριχθῆναι
vos: § Hoc autem est, simul * exhortari in vo-
ὑμᾶς· τοῦτο δέ ἐστι,* συμπαρακληθῆναι ἐν ὑ- 12
bis per eam quæ est inuicem fidem vestram atque meam.
μῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμοῦ.
† Non volo autem vos ignorare, fratres, quia sæpe
οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι πολλάκις 13
proposui venire ad vos, & prohibitus sum
*προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην
vsque adhuc, vt fructum aliquem habeã in vobis, si-
ἄχρι τοῦ δεῦρο, ἵνα καρπόν τινα *σχῶ ἐν ὑμῖν, κα-
cut & in cæteris Gentibus. Græcisque & Bar-
θὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. Ἕλλησί τε καὶ βαρ- 14
baris, sapientibúsque & insipientibus debitor sum.
βάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί.
Ita quod in me promptum *, & vobis qui † in
οὕτω τὸ κατ' ἐμὲ πρόθυμον, καὶ ὑμῖν τοῖς ἐν 15
Roma euangelizare. Non enim erubesco
Ῥώμῃ εὐαγγελίσασθαι. οὐ γὰρ ἐπαισχύνομαι τὸ 16
Euangelium Christi: virtus enim Dei est, in
εὐαγγέλιον τοῦ Χριστοῦ· δύναμις γὰρ θεοῦ ἐστιν εἰς
salutem omni credenti, Iudæoque primum
σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον
& Græco. Iustitia enim Dei in eo re-
καὶ Ἕλληνι· δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀπο- 17
uelatur ex fide in fidem, sicut scriptum
καλύπτεται ἐκ πίστεως εἰς πίστιν, καθὼς γέγρα-
est, Iustus autem ex fide viuet. Reue-
πται, ὁ δὲ δίκαιος ἐκ πίστεως* ζήσεται. ἀποκα- 18
latur enim ira Dei de cælo, super omnem impie-
λύπτεται γὰρ ὀργὴ θεοῦ ἀπ' οὐρανοῦ, ἐπὶ πᾶσαν ἀσέ-
tatem & iniustitiam hominum eorum * veritatem ‖ in
βειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν
iniustitia † detinentium. * Propter quod notum ‖ Dei,
ἀδικίᾳ κατεχόντων. διότι τὸ γνωστὸν τοῦ θεοῦ 19
manifestum est in illis: nam Deus § illis manife-
φανερόν ἐστιν ἐν αὐτοῖς. ὁ γὰρ θεὸς αὐτοῖς * ἐφανέ-
stauit. Nam inuisibilia * ipsius à creatura mun-
ρωσε. τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κό- 20
di ‖ facta intellecta, conspiciuntur, ipsáque sempi-
σμου τοῖς ποιήμασι νοούμενα, καθορᾶται, ἥ τε ἀΐ-
terna † eius virtus & diuinitas, * ad esse eos in-
διος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀ-
excusabiles. § Quoniam cognoscentes Deum, non sicut
ναπολογήτους. διότι γνόντες τὸν θεόν, οὐχ ὡς 21
Deũ glorificauerunt aut gratias egerunt, sed euanuerunt
θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν
in § ratiocinationibus suis, & obscuratum est in-
ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀ-
sipiens eorum cor. Dicentes * esse sapientes,
σύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ 22
stulti facti sunt. Et mutauerunt gloriam incor-
*ἐμωράνθησαν. καὶ *ἤλλαξαν τὴν δόξαν τοῦ ἀφ- 23
ruptibilis Dei in similitudinem imaginis corruptibilis homi-
θάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώ-
nis, & volucrum, & quadrupedum, & † reptilium.
που, καὶ πετεινῶν καὶ τετραπόδων, καὶ ἑρπετῶν.
Quapropter & tradidit illos Deus in deside-
διὸ καὶ παρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυ- 24
riis † cordium eorum in immunditiam, * ad dede-
μίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν, τοῦ ἀ-
core efficiendum corpora sua in semetipsis. Qui
τιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς. οἵτινες 25
commutauerunt veritatem Dei in mendacium,
μετήλλαξαν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν τῷ ψεύδει,
& coluerunt & seruierunt creaturæ § præter
καὶ* ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν
creatorem, qui est benedictus in secula. A-
κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. ἀ-
men. Propter § hoc tradidit illos Deus in passio-
μήν. διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πά- 26
nes ignominiæ: * ipsæque enim fœminæ eorum immutauerunt
θη ἀτιμίας· αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν
naturalem vsum in eum ‖ qui † cōtra naturam. Si-
τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν. ὁ- 27
militer & masculi, § relinquentes naturalem vsum
μοίως καὶ οἱ ἄρσενες ἀφέντες τὴν φυσικὴν χρῆσιν
fœminæ, exarserunt in ¶ libidine sua in
τῆς θηλείας, ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς
inuicem, masculi in masculos turpitudinem
ἀλλήλους, ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην
operantes, & mercedem quam oportuit,
κατεργαζόμενοι, καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει τῆς
erroris sui in semetipsis recipientes.
πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες.
Et sicut non probauerunt Deum habere in no-
καὶ καθὼς οὐκ *ἐδοκίμασαν τὸν θεὸν ἔχειν ἐν ἐπι- 28
titia, tradidit illos Deus in reprobum sensum,
γνώσει, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν,
* facere ea quæ non ‖ conuenientia: Repletos om-
ποιεῖν τὰ μὴ καθήκοντα· πεπληρωμένους πά- 29
ni † iniustitia, fornicatione, nequitia, auaritia, malitia,
σῃ ἀδικίᾳ, πορνείᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ·
plenos inuidia, * cæde, contentione, dolo, malignitate, su-
μεστοὺς φθόνου, φόνου, ἔριδος, δόλου, κακοηθείας· ψι-
surrones: Detractores, Deo odibiles, cōtumeliosos, su-
θυριστάς, καταλάλους, θεοστυγεῖς, ὑβριστάς, ὑ- 30
perbos, § arrogantes, inuentores malorum, parentibus
περηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν
* inobedientes. Insipientes, incompositos, ‖ inaffectibiles, in-
ἀπειθεῖς, ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀ- 31
fœderabiles, immisericordes. Qui † ius
σπόνδους, ἀνελεήμονας. οἵτινες τὸ δικαίωμα τοῦ 32
Dei * cognoscentes, quoniam talia § agentes
θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες
digni morte sunt, non solùm ea * faciunt, sed
ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ
etiam ‖ consentiunt facientibus.
καὶ συνευδοκοῦσι τοῖς πράσσουσι.

CAP. II. β'.

* Ideò inexcusabilis es, ô homo omnis ‖ iudi-
Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε πᾶς ὁ κρί- 1
cans. in quo enim iudicas alterum, teipsum condem-
νων. ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρί-
nas: nam eadem † agis † iudicans. Scimus
νεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. οἴδαμεν 2
* autem quoniam iudicium Dei est secundùm veritatē in eos qui
δὲ ὅτι τὸ κρίμα τοῦ θεοῦ ἐστι κατὰ ἀλήθειαν ἐπὶ τοὺς
talia ‖ agentes. Existimas autē hoc, ô
τὰ τοιαῦτα πράσσοντας. λογίζῃ δὲ τοῦτο, ὦ 3
homo † iudicans eos qui talia ‖ agentes,
ἄνθρωπε ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας,
& faciens ea, quia tu effugies iudicium Dei?
καὶ ποιῶν αὐτά, ὅτι σὺ *ἐκφεύξῃ τὸ κρίμα τοῦ θεοῦ;
An diuitias bonitatis eius, & patien-
ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνο- 4
tiæ, & longanimitatis contemnis, ignorans quoniã
χῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι
benignitas Dei ad pœnitentiam te adducit? Secūdū autē
τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει; κατὰ δὲ 5
duritiam tuam, & impœnitens cor, the-
τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θη-
saurizas tibipsi iram in die iræ, & reue-
σαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀπο-
lationis, & iusti iudicij Dei. Qui red-
καλύψεως, καὶ δικαιοκρισίας τοῦ θεοῦ. ὃς ἀπο- 6
det vnicuiq; secundùm opera eius. Iis quidē secūdùm
δώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. τοῖς μὲν καθ' 7
‖ perseuerantiam operis boni, gloriam, & honorem,
ὑπομονὴν ἔργου ἀγαθοῦ, δόξαν, καὶ τιμήν,

Margin notes: † gratis — μεταδίδωμι — * spiritalis, ‡ confirmandos — * στηρίζω — § Id — * consolari — * συμπαρακληθῆναι — ‖ est — † Nolo — * προτίθημι — * καλύω — * ἔχω — * est, ‡ Romæ estis — § autem — * ζάω — * qui ‖ Dei — † detinēt. * Quia ‡ in ‖ enim — * φανερόω — * enim — ‖ per ea quæ facta sunt — † quoque ita vt sint — § Quia quū cognouissent — * μωραίνω — * ἀλλάττω — ‖ serpentū. Propter quod — * cordis — * ut contumeliis afficiant — § potius quàm creatori, — * σέβομαι — § eo — * nam — ‖ vsum † est — * autem † relicto naturali vsu — § desiderijs suis — * δοκιμάζω — * vt faciāt ‖ conuenientia † iniquitate, — * homicidio, — § elatos, — * non ‖ sine affectione, absq; fœdere, sine misericordia. † quum iustitiam cognouissent, non intellexerunt, ‡ qui agūt * qui faciunt, ‖ qui consentiunt. — * Propter quod ‖ qui iudicas. — † enim ‡ quæ iudicas. * enim — ‖ agunt, — † qui iudicas ‡ agunt, & facis — * ἐκφεύγω — * qui — ‖ patientiam

& incorruptionem † inquirentibus, vitam æternam. Iis
καὶ ἀφθαρσίαν ἐπιζητοῦσι, ζωὴν αἰώνιον. Τοῖς 8
autē ex contentione,& † incredulis quidem veritati, † cre-
δὲ ἐξ ἐριθείας, καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πει-
dentibus autem * iniustitiæ indignatio & ira. Tribulatio &
θομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργή. Θλίψις καὶ 9
angustia in omnem animam hominis o-
στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κα-
perantis malum, Iudæique primùm & Græ-
τεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλ-
ci. Gloria autem & honor, & pax omni
ληνος. δόξα δὲ καὶ τιμὴ, καὶ εἰρήνη παντὶ τῷ 10
operanti bonum, Iudæoque primùm & Græ-
ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλ-
co. Non enim est acceptio personarum apud
ληνι. οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ 11
Deum. Quicumq; enim sine lege peccauerunt, sine lege &
θεῷ. ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ 12
peribunt. & quicumq; in lege peccauerunt, per le-
ἀπολοῦνται. καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νό-
gem iudicabuntur. Non enim auditores legis
μου κριθήσονται. οὐ γὰρ ἀκροαταὶ τοῦ νόμου 13
iusti apud Deum, sed factores legis iu-
δίκαιοι παρὰ τῷ θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δι-
stificabuntur. Quum enim Gentes quæ non legem habe-
καιωθήσονται. ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχον- 14
tes, natura ea quæ legis faciūt, eiusmodi legem non habentes,
τα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες,
sibiipsi sunt lex. Qui ostendunt o-
ἑαυτοῖς εἰσι νόμος. οἵτινες ἐνδείκνυνται τὸ ἔρ- 15
pus legis scriptum in cordibus suis, con-
γον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμ-
testante ipsorum conscientia, & inter se
μαρτυρούσης αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλ-
inuicem cogitationum accusantium, aut etiam defen-
λήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολο-
dentium: In die quum iudicabit Deus occulta
γουμένων· ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ θεὸς τὰ κρυπτὰ 16
hominum, secundùm Euangelium meum, per Iesum
τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου, διὰ Ἰησοῦ
Christum. Ecce tu Iudæus cognominaris, & requies-
Χριστοῦ. ἴδε σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύ- 17
cis legi, & gloriatis in Deo: Et no-
ῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν θεῷ, καὶ γινώ- 18
sti voluntatem, & probas differentia,
σκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα,
instructus ex lege. Confidisque te-
κατηχούμενος ἐκ τοῦ νόμου. πέποιθάς τε σε- 19
ipsum ducem esse cæcorum, lumen eorū qui in tenebris.
αυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει.
Eruditorem insipientium, magistrum infantium, ha-
παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, ἔ- 20
bentem formam scientiæ & veritatis
χοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ τῆς ἀληθείας
in lege. Ergo docens alium, teipsum
ἐν τῷ νόμῳ. ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν 21
non doces? prædicans non furari, furaris?
οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις;
Qui dicens non mœchari, mœcharis? abomi-
ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; ὁ βδελυσσό- 22
nans idola, sacrilegium facis? Qui in lege glo-
μενος τὰ εἴδωλα, ἱεροσυλεῖς; ὃς ἐν νόμῳ καυ- 23
riaris, per transgressionem legis Deum inho-
χᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν θεὸν ἀτι-
noras? Ipsum enim nomen Dei per vos blasphe-
μάζεις; τὸ γὰρ ὄνομα τοῦ θεοῦ δι' ὑμᾶς βλασφη- 24
matur in Gentibus, sicut scriptum est. Circumci-
μεῖται ἐν τοῖς ἔθνεσι, καθὼς γέγραπται. περιτο- 25
sio quidē enim prodest si legem obserues: si autē trans-
μὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς· ἐὰν δὲ πα-
gressor legis sis, circumcisio tua præputium fa-
ραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέ-

cta est. Si igitur præputium iustitias
γονεν. ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ 26
legis custodiat, nonne præputium illius in circumci-
νόμου φυλάσσῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτο-
sionem reputabitur? Et iudicabit id quod ex natura præ-
μὴν λογισθήσεται; καὶ κρινεῖ ἡ ἐκ φύσεως ἀκρο- 27
putium, legem consummans, te per literam &
βυστία, τὸν νόμον τελοῦσα, σὲ τὸν διὰ γράμματος καὶ
circumcisionem transgressorem legis? Nō enim qui in ma-
περιτομῆς παραβάτην νόμου. οὐ γὰρ ὁ ἐν τῷ φα- 28
nifesto, Iudæus est, neque quæ in manifesto, in carne,
νερῷ, Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ, ἐν σαρκί,
circumcisio est: Sed qui in abscondito, Iudæus: & circum-
περιτομή· ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περι- 29
cisio cordis in spiritu, non litera. cuius laus
τομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι, οὗ ὁ ἔπαινος
non ex hominibus, sed ex Deo.
οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ θεοῦ.

CAP. III. γ'.

Quid ergo præstans Iudæo? aut quæ vti-
Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου; ἢ τίς ἡ ὠφέ- 1
litas circumcisionis? Multum per omnem modum.
λεια τῆς περιτομῆς; πολὺ κατὰ πάντα τρόπον. 2
primum quidem enim, quia credita sunt eloquia Dei.
πρῶτον μὲν γὰρ, ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ θεοῦ.
Quid enim, si non crediderunt quidam? num incredulitas illo-
τί γὰρ, εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία αὐ- 3
rum fidem Dei inutilem reddet? Ne fiat. e-
τῶν τὴν πίστιν τοῦ θεοῦ καταργήσει; μὴ γένοιτο. γι- 4
sto autem Deus verax, omnis autem homo mendax.
νέσθω δὲ ὁ θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος ψεύστης,
sicut scriptum est, Vt vtique iustificeris in sermo-
καθὼς γέγραπται, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λό-
nibus tuis, & vincas in iudicari te. Si autē
γοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. εἰ δὲ 5
iniquitas nostra Dei iustitiam commendat, quid di-
ἡ ἀδικία ἡμῶν θεοῦ δικαιοσύνην συνίστησι, τί ἐ-
cemus? Num iniustus Deus, inferens iram?
ροῦμεν; μὴ ἄδικος ὁ θεὸς, ὁ ἐπιφέρων τὴν ὀργήν;
(secundum hominem dico.) Ne fit. alioquin quomodo
κατὰ ἄνθρωπον λέγω. μὴ γένοιτο. ἐπεὶ πῶς 6
iudicabit Deus mundum? Si enim veritas
κρινεῖ ὁ θεὸς τὸν κόσμον; εἰ γὰρ ἡ ἀλήθεια τοῦ 7
Dei in meo mendacio abundauit, in
θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν εἰς
gloriam ipsius, quid adhuc & ego tanquā peccator iu-
τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρί-
dicer? Et non (sicut blasphemamur, &
νομαι; καὶ μὴ καθὼς βλασφημούμεθα, καὶ 8
sicut aiunt quidam nos dicere) quia faciamus
καθώς φασί τινες ἡμᾶς λέγειν, ὅτι ποιήσωμεν τὰ
mala, vt veniant bona: quorum damnatio iusta
κακά, ἵνα ἔλθῃ τὰ ἀγαθά; ὧν τὸ κρίμα ἔνδικόν
est. Quid ergo? præcellimus? non omnino. præcau-
ἐστι. τί οὖν; προεχόμεθα; οὐ πάντως· προῃ- 9
sati sumus enim Iudæosque & Græcos, omnes
τιασάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας πάντας
sub peccato esse: Sicut scriptum est, Non est
ὑφ' ἁμαρτίαν εἶναι. καθὼς γέγραπται, ὅτι οὐκ ἔστι 10
iustus, neque vnus: Non est intelligens, non est
δίκαιος, οὐδὲ εἷς· οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν 11
requirens Deum. Omnes declinauerunt, simul inu-
ὁ ἐκζητῶν τὸν θεόν. πάντες ἐξέκλιναν, ἅμα ἠ- 12
tiles facti sunt: non est faciens bonitatem, non est
χρειώθησαν· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν
vsque ad vnum. Sepulchrum patens guttur eorum:
ἕως ἑνός. τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, 13
linguis suis dolosè agebant: venenum aspidum sub
ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· ἰὸς ἀσπίδων ὑπὸ
labiis eorum: Quorum os maledictione & amaritudine
τὰ χείλη αὐτῶν. ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας 14
γέμει.

plenum est. Veloces pedes eorum ad effundendum sanguinem:
γέμει. ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα. 15
Contritio & infelicitas in viis eorum:
σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν: 16
Et viam pacis non cognouerunt: Non
καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν. οὐκ 17 18
est timor Dei ante oculos eorum.
ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν.
Scimus autem, quoniam quæcumque lex dicit, iis qui in lege
οἴδαμεν δὲ, ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐν τῷ νόμῳ 19
loquitur, vt omne os obstruatur, & subditus
λαλεῖ, ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπόδικος
fiat omnis mundus Deo. Propterea ex operibus legis
γένηται πᾶς ὁ κόσμος τῷ θεῷ. διότι ἐξ ἔργων νόμου 20
non iustificabitur omnis caro coram illo.
οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ.
per enim legem cognitio peccati. Nunc autem sine
διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας. νυνὶ δὲ χωρὶς 21
lege iustitia Dei manifestata est, testificata
νόμου δικαιοσύνη θεοῦ πεφανέρωται, μαρτυρουμένη
à lege, & Prophetis. Iustitia
ὑπὸ τοῦ νόμου, καὶ τῶν προφητῶν. δικαιοσύνη 22
autem Dei per fidem Iesu Christi, in omnes, &
δὲ θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, εἰς πάντας καὶ
super omnes credentes: non enim est distinctio.
ἐπὶ πάντας τοὺς πιστεύοντας. οὐ γάρ ἐστι διαστολή.
Omnes enim peccauerunt, & deficiunt gloria
πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης 23
Dei: Iustificati gratis ipsius gratia, per
τοῦ θεοῦ· δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι, διὰ 24
redemptionem quæ in Christo Iesu: Quem proposuit
τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ· ὃν προέθετο 25
Deus propitiationem per fidem in ipsius
ὁ θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ
sanguine, ad ostensionem iustitiæ suæ, per
αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, διὰ τὴν
remissionem præcedentium delictorum: In
πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων. ἐν 26
sustentatione Dei, ad ostensionem iustitiæ
τῇ ἀνοχῇ τοῦ θεοῦ, πρὸς ἔνδειξιν τῆς δικαιοσύνης
eius, in nunc tempore, ad esse ipsum iustum,
αὐτοῦ, ἐν τῷ νῦν καιρῷ, εἰς τὸ εἶναι αὐτὸν δίκαιον,
& iustificantem eum qui ex fide Iesu. Vbi ergo
καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ. ποῦ οὖν ἡ 27
gloriatio? exclusa est. per quam legem? operum?
καύχησις; ἐξεκλείσθη. διὰ ποίου νόμου; τῶν ἔργων;
non, sed per legem fidei. Rationem colligimus ergo
οὐχί, ἀλλὰ διὰ νόμου πίστεως. λογιζόμεθα οὖν 28
fide iustificari hominem sine operibus legis.
πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου.
An Iudæorum Deus tantùm? nonne verò & Gentium? imò &
ἢ Ἰουδαίων ὁ θεὸς μόνον; οὐχὶ δὲ καὶ ἐθνῶν; ναὶ καὶ 29
Gentium. Siquidem vnus Deus, qui iustificabit circumcisionem
ἐθνῶν. ἐπείπερ εἷς ὁ θεὸς, ὃς δικαιώσει περιτομὴν 30
ex fide, & præputium per fidem.
ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως.
Legem ergo destruimus per fidem? absit:
νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ 31
sed legem stabilimus.
γένοιτο· ἀλλὰ νόμον ἱστῶμεν.

CAP. IIII. δ.

Quid ergo dicemus Abraham patrem nostrum
ΤΊ οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν 1
inuenisse secundum carnem? Si enim Abraham ex operibus
εὑρηκέναι κατὰ σάρκα; εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων 2
iustificatus est, habet gloriationem, sed non apud Deum.
ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν θεόν.
Quid enim Scriptura dicit? Credidit autem Abraham
τί γὰρ ἡ γραφὴ λέγει; ἐπίστευσε δὲ Ἀβραὰμ τῷ 3
Deo, & reputatum est illi ad iustitiam. At
θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. τῷ δὲ 4
operanti merces non imputatur secundùm gratiam, sed
ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ
secundùm debitum. At non operanti, credenti
κατὰ τὸ ὀφείλημα. τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι 5
autem in iustificantem impium, reputatur
δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ
fides eius ad iustitiam. Sicut & David
πίστις αὐτοῦ εἰς δικαιοσύνην. καθάπερ καὶ Δαβὶδ 6
dicit beatitudinem hominis, cui Deus
λέγει τὸν μακαρισμὸν τοῦ ἀνθρώπου, ᾧ ὁ θεὸς
imputat iustitiam sine operibus: Beati
λογίζεται δικαιοσύνην χωρὶς ἔργων· μακάριοι 7
quorum remissæ sunt iniquitates, & quorum tecta
ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν
sunt peccata. Beatus vir, cui non imputabit
αἱ ἁμαρτίαι. μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται 8
Dominus peccatum. Beatitudo ergo
κύριος ἁμαρτίαν. ὁ μακαρισμὸς οὖν 9
hæc in circumcisionem? an etiam in præputium?
οὗτος ἐπὶ τὴν περιτομὴν, ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν;
dicimus enim, quia reputata est Abrahæ fides
λέγομεν γὰρ, ὅτι ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις
ad iustitiam. Quomodo ergo reputata est? in circumcisione
εἰς δικαιοσύνην. πῶς οὖν ἐλογίσθη; ἐν περιτομῇ 10
existenti, an in præputio? non in circumcisione, sed
ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; οὐκ ἐν περιτομῇ, ἀλλ'
in præputio. Et signum accepit circumcisionis,
ἐν ἀκροβυστίᾳ. καὶ σημεῖον ἔλαβε περιτομῆς, 11
signaculum iustitiæ fidei quæ in
σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν τῇ
præputio, ad esse eum patrem omnium
ἀκροβυστίᾳ, εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν
credentium per præputium, ad reputari &
πιστευόντων δι' ἀκροβυστίας, εἰς τὸ λογισθῆναι καὶ
illis iustitiam. Et patrem circumcisionis,
αὐτοῖς τὴν δικαιοσύνην. καὶ πατέρα περιτομῆς, 12
iis non ex circumcisione solùm, sed & incedentibus
τοῖς οὐκ ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσι
vestigiis eius quæ in præputio fidei patris
τοῖς ἴχνεσι τῆς ἐν τῇ ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς
nostri Abrahæ. Non enim per legem promissio
ἡμῶν Ἀβραάμ. οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία 13
Abrahæ, aut semini eius, hæredem
τῷ Ἀβραὰμ, ἢ τῷ σπέρματι αὐτοῦ, τὸ κληρονόμον
eum esse mundi, sed per iustitiam
αὐτὸν εἶναι τοῦ κόσμου, ἀλλὰ διὰ δικαιοσύνης
fidei. Si enim qui ex lege, hæredes, exinanita est
πίστεως. εἰ γὰρ οἱ ἐκ νόμου, κληρονόμοι, κεκένωται 14
fides, & inutilis reddita est promissio. Nam
ἡ πίστις, καὶ κατήργηται ἡ ἐπαγγελία. ὁ γὰρ 15
lex iram adoperatur. vbi enim non est lex, nec
νόμος ὀργὴν κατεργάζεται· οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ
transgressio. Propter hoc ex fide, vt secundùm gratiam,
παράβασις. διὰ τοῦτο ἐκ πίστεως, ἵνα κατὰ χάριν, 16
ad esse firmam promissionem omni semini,
εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι,
non ei qui ex lege solùm, sed & ei qui ex fide
οὐ τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πίστεως
Abrahæ, qui est pater omnium nostrûm: (Sicut
Ἀβραάμ, ὅς ἐστι πατὴρ πάντων ἡμῶν· καθὼς 17
scriptum est, Quia patrem multarum Gentium posui te,)
γέγραπται, ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε·
ante cui credidit Deum, viuificantem
κατέναντι οὗ ἐπίστευσε θεοῦ, τοῦ ζωοποιοῦντος τοὺς
mortuos, & vocantem non existentia vt existentia. Qui
νεκροὺς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα. ὃς 18
contra spem in spem credidit, ad fieri
παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι
eum patrem multarum Gentium, secundùm dictum,
αὐτὸν πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρημένον,
Sic erit semen tuum. Et non infirmatus
οὕτως ἔσται τὸ σπέρμα σου. καὶ μὴ ἀσθενήσας 19

fide, † non consideravit suum ipsius corpus iam emor-
τῇ πίστει, οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρω-
tuum, centum annorum ferè subsistens, & † mortifica-
μένον, ἑκατονταέτης που ὑπάρχων, καὶ τὴν * νέκρω-
tionem vulvæ Saræ. In autem repromissionem ‡
σιν τῆς μήτρας Σάῤῥας. 20 εἰς δὲ τὴν ἐπαγγελίαν
Dei non * disceptavit diffidentia, sed confortatus
τοῦ θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώ-
est fide, dans gloriam Deo. Et plenissi-
θη τῇ πίστει, δοὺς δόξαν τῷ θεῷ. 21 καὶ * πληρο-
mè sciens quia ‡ quod promisit, potens est & face-
φορηθεὶς ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆ-
re: Ideo & reputatum est illi ad iustitiam.
σαι. 22 διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.
Non scriptum est autē propter ipsum * solum, quia reputatū est
23 οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ὅτι ἐλογίσθη
illi †: Sed & propter nos, quibus futurum est imputari,
αὐτῷ· 24 ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι,
credentibus in † excitantem Iesum ‡ Dominū no-
τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον ἡ-
strum à mortuis. Qui traditus est propter deli-
μῶν ἐκ νεκρῶν. 25 ὃς παρεδόθη διὰ τὰ παραπτώ-
cta nostra, & * excitatus est propter iustificationem nostram.
ματα ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν.

† nec · * quum esset · ‡ emortuā · vuluam · * νεκρὸν · ‡ etiam · * hæsitauit · * διεκρίθη · * πληροφορηθεὶς · ‖ quæcumque · * tantùm · † ad iustitiam: · * reputabitur, · ‡ eum qui suscitauit · ‡ Christū · * resurrexit · * ἠγέρθη

CAP. V. ε.

Iustificati ergo ex fide, pacem * habemus
Δικαιωθέντες οὖν ἐκ πίστεως, εἰρήνην ἔχομεν 1
ad Deum per Dominum nostrum Iesum Christum.
πρὸς τὸν θεὸν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
Per quem & accessum ‖ habuimus fi-
2 δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πί-
de in gratiam istam in qua * stetimus, &
στει εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν, καὶ
gloriamur in spe gloriæ † Dei. Non so-
καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ θεοῦ. 3 οὐ μό-
lùm autem, sed & gloriamur in tribulationibus, scientes
κύριοι, τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτοὺς, ἀνιέντες τὴν
minas: scientes quia & vester & illorum Dominus est
ἀπειλήν· εἰδότες ὅτι καὶ ὑμῶν καὶ αὐτῶν ὁ κύριός ἐστιν

* Filij, · † tuam · * sit, · § sis · § vos · * nolite ad iracūdiam provocare filios · ‖ carnalibus, · † ad oculū servientes, · * bona voluntate · § recipiet · § vos · * illis, · * ἀνιέντι

in cælis, & personarum acceptio non est apud eum.
ἐν οὐρανοῖς, καὶ προσωποληψία οὐκ ἔστι παρ᾽ αὐτῷ.
‖ Reliquum, fratres, mei, confortamini in Domino,
τὸ λοιπὸν, ἀδελφοί μου, ἐνδυναμοῦσθε ἐν κυρίῳ,
& in potentia virtutis eius. Induite
καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. *ἐνδύσασθε τὴν
† armaturam Dei, *ad posse vos stare
πανοπλίαν τοῦ θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι
adversus insidias diaboli. Quoniā non est no-
πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. ὅτι οὐκ ἔστιν ἡ-
bis colluctatio adversus sanguinē & carnem, sed adversus
μῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς
§ principatus, adversus potestates, adversus mundi § po-
ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκρά-
tentes tenebrarum * seculi huius, contra spirita-
τορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευμα-
lia nequitiæ, in cælestibus. ‖ Propter hoc ac-
τικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. διὰ τοῦτο *ἀ-
cipite universam armaturam Dei, ut possitis re-
ναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα δυνηθῆτε ἀν-
sistere in die malo, & † omnia con-
τιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κα-
ficientes stare. State ergo succincti
τεργασάμενοι στῆναι. στῆτε οὖν περιζωσάμενοι
lumbos vestros in veritate, & induti lo-
τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώ-
ricam iustitiæ, Et calceati pe-
ρακα τῆς δικαιοσύνης. καὶ *ὑποδησάμενοι τοὺς πό-
des in præparatione Euangelij pacis: In
δας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης. ἐπὶ
omnibus assumentes scutum fidei: in quo pos-
πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνή-
sitis omnia tela *illius nequam ignita
σεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα
extinguere. Et galeam ‡ salutaris assumi-
σβέσαι. καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξα-
te, & gladium spiritus, (quod est verbum Dei.)
σθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ.
Per omnem orationem & obsecrationem oran-
διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχό-
tes in omni tempore, in spiritu: & in ipso hoc
μενοι ἐν παντὶ καιρῷ ἐν πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο
vigilantes in omni instantia, & obsecratione
*ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει
pro omnibus sanctis. Et pro me: ut mihi detur
περὶ πάντων τῶν ἁγίων. καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθείη
sermo in apertione oris mei, § in fiducia, notum
λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, ἐν παῤῥησίᾳ γνω-
facere mysterium Euangelij, Pro quo legatio-
ρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου. ὑπὲρ οὗ πρεσ-
ne fungor in catena: * ut in ipso ‖ liberè loquar, ut
βεύω ἐν ἁλύσει, ἵνα ἐν αὐτῷ παῤῥησιάσωμαι, ὡς
oportet me loqui. Ut autem sciatis & vos quæ circa
δεῖ με λαλῆσαι. ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ᾽
me †, quid agam: omnia vobis nota faciet Tychicus,
ἐμέ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει τυχικὸς ὁ
*dilectus frater & fidelis minister in Domino:
ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν κυρίῳ·
Quem misi ad vos in ‡ illud ipsum, ut cogno-
ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶ-
scatis quæ circa nos §, & consoletur corda vestra.
τε τὰ περὶ ἡμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν.
Pax fratribus & charitas cum fide, à
εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως, ἀπὸ
Deo Patre, & Domino Iesu Christo. Gratia cum
θεοῦ πατρὸς, καὶ κυρίου ἰησοῦ χριστοῦ. ἡ χάρις μετὰ
omnibus *diligentibus Dominum nostrum Iesum Chri-
πάντων τῶν ἀγαπώντων τὸν κύριον ἡμῶν ἰησοῦν χρι-
stum in incorruptione. Amen.
στὸν ἐν ἀφθαρσίᾳ. ἀμήν.

Ad Ephesios scripta est à Roma per Tychicum.
Πρὸς ἐφεσίους ἐγράφη ἀπὸ ῥώμης διὰ τυχικοῦ.

‖ De cætero · * ἐνδύσασθε · † vos · ut possitis · § principes & · § rectores · * harum · ‖ Propterea · * ἀναλάβετε · † in omnibus perfecti · * ὑποδησάμενοι · * nequissimi ignea · * πυρόω · ‡ salutis · * σβέννυμι · * ἀγρυπνέω · § cum · * ita · ‖ audeam, prout · † sunt. · * charissimus · ‡ hoc · § sunt, · * qui diligunt

SANCTI PAVLI
Η ΤΟΥ ΑΓΙΟΥ ΠΑΥΛΟΥ
AD PHILIPPENSES
ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ
Epistola.
ἐπιστολή.

CAPVT PRIMVM. Κεφ. α.

PAVLVS & Timotheus serui Iesu
1 ΠΑΥΛΟΣ καὶ Τιμόθεος δοῦλοι Ἰησοῦ
Christi, omnibus sanctis in Christo Ie-
χριστοῦ, πᾶσι τοῖς ἁγίοις ἐν χριστῷ Ἰη-
su *existentibus in Philippis, cum episcopis &
σοῦ τοῖς οὖσιν ἐν Φιλίπποις, σὺν ἐπισκόποις καὶ
†diaconis: Gratia vobis & pax à Deo
2 διακόνοις, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ
Patre nostro, & Domino Iesu Christo. Gratias a-
πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ χριστοῦ. 3 Εὐχαρι-
go Deo meo in omni memoria vestri, (Sem-
στῶ τῷ θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν, 4 πάν-
per in *omni precatione mea pro omnibus vobis cum
τοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν μετὰ
gaudio deprecationem faciens:) Super communicatione
χαρᾶς τὴν δέησιν ποιούμενος, 5 ἐπὶ τῇ κοινωνίᾳ
vestra in ‡Euangelium, à prima die
ὑμῶν εἰς τὸ εὐαγγέλιον, ἀπὸ πρώτης ἡμέρας
vsque nunc. Confidens ipsum hoc, quia §ille in-
ἄχρι τοῦ νῦν. 6 πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρ-
cipiens in vobis opus bonum, perficiet vf-
ξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν, *ἐπιτελέσει ἄ-
que in diem Christi Iesu: Sicut est iustum
χρις ἡμέρας χριστοῦ Ἰησοῦ. 7 καθώς ἐστι δίκαιον
mihi hoc sentire pro omnibus vobis, *propter ha-
ἐμοὶ τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν, διὰ τὸ ἔ-
bere me in corde vos, in & vinculis meis,
χειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου,
& in defensione, & confirmatione Euange-
καὶ ἐν τῇ ἀπολογίᾳ, καὶ *βεβαιώσει τοῦ εὐαγγε-
lij, ‖communicatores mea gratia omnes vos
λίου, συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς
‡existentes. Testis enim mihi est Deus, quomodo cu-
ὄντας. 8 μάρτυς γάρ μου ἐστὶν ὁ θεὸς, ὡς ἐπι-
piam omnes vos in visceribus Iesu Chri-
ποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ χρι-
sti. Et hoc oro, vt charitas v.stra
στοῦ. 9 καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν
*amplius magis ac magis abundet in scientia
ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει
& *omni sensu, ‡Ad probandum vos
καὶ πάσῃ αἰσθήσει, 10 εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ
præstantia, vt sitis sinceri & †inof
διαφέροντα, ἵνα ἦτε εἰλικρινεῖς, καὶ ἀπρόσ-
fensi in diem Christi, repleti *fructi-
11 κοποι εἰς ἡμέραν χριστοῦ, *πεπληρωμένοι καρ-
bus iustitiæ eorum qui per Iesum Christum, in gloriam
πῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ χριστοῦ, εἰς δόξαν
& laudem Dei. Scire autem vos volo,
καὶ ἔπαινον θεοῦ. 12 γινώσκειν δὲ ὑμᾶς βούλομαι,
fratres, quia quæ circa me ‖ magis ad profe-
ἀδελφοὶ, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκο-
ctum Euangelij venerunt. †Itaque vin-
πὴν τοῦ εὐαγγελίου *ἐλήλυθεν. 13 ὥστε τοὺς δεσ-
cula mea manifesta in Christo *fieri in toto
μούς μου φανεροὺς ἐν χριστῷ γενέσθαι ἐν ὅλῳ
prætorio, & ‡ cæteris omnibus: §Et
τῷ πραιτωρίῳ, καὶ τοῖς λοιποῖς πᾶσι· 14 καὶ τοὺς
plures *fratrum in Domino, ‖fretos
πλείονας τῶν ἀδελφῶν ἐν κυρίῳ, πεποιθότας
vinculis meis; abundantius †audere impauide
τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως
Dei verbum loqui. Quidam quidē & propter inui-
15 τὸν λόγον λαλεῖν. τινὲς μὲν καὶ διὰ φθό-
diā & cōtentionē, quidā autē & propter bonā volūtatē Christū
νον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν χριστὸν
prædicant. *Hi quidem ex contentione Christum an-
16 κηρύσσουσιν. οἱ μὲν ἐξ ἐριθείας τὸν χριστὸν κα-
nuntiant non sincerè, existimātes †afflictionem affer-
ταγγέλλουσιν οὐχ ἁγνῶς, οἰόμενοι θλίψιν ἐπιφέ-
re vinculis meis. ‡Illi verò ex charitate: scien-
17 ρειν τοῖς δεσμοῖς μου. οἱ δὲ ἐξ ἀγάπης, εἰδό-
tes quoniam in defensionem Euangelij positus sum.
τες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι.
Quid enim? *Attamen omni modo, siue ‖ po-
18 τί γάρ; πλὴν παντὶ τρόπῳ, εἴτε προφά-
sitis, siue †veritate, Christus *annunciatur: &
σει, εἴτε ἀληθείᾳ, χριστὸς καταγγέλλεται· καὶ
in hoc gaudeo, sed & gaudebo. Scio enim
19 ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι. οἶδα γὰρ
quia hoc mihi proueniet ad salutem, per
ὅτι τοῦτό μοι *ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς
vestram orationem, & subministrationem Spiritus
ὑμῶν δεήσεως, καὶ ἐπιχορηγίας τοῦ πνεύματος
Iesu Christi, Secundum expectationem &
20 Ἰησοῦ χριστοῦ, κατὰ τὴν ἀποκαραδοκίαν καὶ
spem meam, quia in nullo ‡ pudefiam: sed
ἐλπίδα μου, ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι, ἀλλ'
in omni fiducia, sicut semper, & nunc ma-
ἐν πάσῃ παρρησίᾳ, ὡς πάντοτε, καὶ νῦν *μεγα-
gnificabitur Christus in corpore meo, siue
λυνθήσεται χριστὸς ἐν τῷ σώματί μου, εἴτε
per vitam, siue per mortem. Mihi enim viuere
21 διὰ ζωῆς, εἴτε διὰ θανάτου. ἐμοὶ γὰρ τὸ ζῆν,
Christus: § & mori lucrum. *Si verò viuere
22 χριστὸς καὶ τὸ ἀποθανεῖν, κέρδος. εἰ δὲ τὸ ζῆν
in carne, hoc mihi fructus operis, & quid eli-
ἐν σαρκὶ, τοῦτό μοι καρπὸς ἔργου· καὶ τί αἱρήσο-
gam †non cognosco. Coarctor autem è duobus:
23 μαι οὐ γνωρίζω. συνέχομαι δὲ ἐκ τῶν δύο, τὴν
desiderium habens ad dissolui, & cum Chri-
ἐπιθυμίαν ἔχων εἰς τὸ *ἀναλῦσαι, καὶ σὺν χρι-
sto esse. multo magis melius. At permane-
24 στῷ εἶναι. πολλῷ μᾶλλον κρεῖσσον. τὸ δὲ ἐπιμέ-
re *in carne, magis necessarium propter vos. Et
25 νειν ἐν τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς. καὶ
hoc ‡confisus, scio quia manebo & vna permanebo
τοῦτο πεποιθὼς οἶδα ὅτι μενῶ καὶ συμπαραμενῶ
omnibus vobis, ad vestrum profectum & gaudium
πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν
fidei: Vt §gloriatio vestra abundet
26 τῆς πίστεως· ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ
in Christo Iesu in me, per *meam præsentiam
ἐν χριστῷ Ἰησοῦ ἐν ἐμοὶ, διὰ τῆς ἐμῆς παρουσίας
iterum ad vos. Tantum dignè Euange-
27 πάλιν πρὸς ὑμᾶς. μόνον ἀξίως τοῦ εὐαγγε-
lio Christi ‖gerite vos, vt siue †veniens &
λίου τοῦ χριστοῦ πολιτεύεσθε, ἵνα εἴτε ἐλθὼν καὶ
videns vos, siue absens, audiam quæ de vobis,
ἰδὼν ὑμᾶς, εἴτε ἀπὼν, ἀκούσω τὰ περὶ ὑμῶν,
quia statis in vno spiritu, *vno animo collabo-
ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ, συναθ-
rantes fidei Euangelij. Et ‡non ter-
28 λοῦντες τῇ πίστει τοῦ εὐαγγελίου. καὶ μὴ πτυ-
riti in vllo ab aduersariis. §quod
ρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων. ἥτις
illis quidem est indicium perditionis, vobis autem salu-
αὐτοῖς μέν ἐστιν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτη-
tis: & hoc à Deo. Quia vobis donatum est
29 ρίας· καὶ τοῦτο ἀπὸ θεοῦ. ὅτι ὑμῖν *ἐχαρίσθη τὸ
pro Christo, non solùm *in eum †credere, sed
ὑπὲρ χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ

Marginal notes (left): *qui sunt · †diaconibus · *cunctis orationibus meis. · ‡Euāgelio Christi, · §qui cœpit · *ἐπιτελέσει · *eo quòd habeam · *βεβαιώσει · ‖socios gaudij mei · ‡esse. · *in · ‡Vt probetis potiora, · §sine offensa · *fructu · *πληρώσει · ‖Scit. · †Ita vt · *ἐλήλυθεν · *ferentur in omni · ‡in · §Vt · *è fratribus ‖confidentes in · *γενέσθαι

Marginal notes (right): †audere sine timore · *Quidam autem · †pressuras · ‡suscitare. · §Quidam · *Dum · ‖per occasionem · †per veritatem · *annunciatur, · *ἀποβήσεται · ‡confundar · *μεγαλύνω · §est: · *Quòd · ‖est, · †ignoro · *ἀναλῦσαι · *autem · ‡confidens, · §gratulatio · *mei aduentum · ‖conuersamini · †cum venero, & videro · *vnanimes, · ‡in nullo terreamini · *πτυρόμενοι · §quæ illis est causa · *χάρις · †credatis

et pro illo pati, Idem certamen habentes
καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν, τὸν αὐτὸν ἀγῶνα ἔχοντες 30
quale vidistis in me, & nunc auditis in me.
οἷον ἴδετε ἐν ἐμοί, καὶ νῦν ἀκούετε ἐν ἐμοί.

CAP. II. β'.

Si qua ergo consolatio in Christo, si quod solatium charitatis, si qua communio spiritus, si qua viscera & miserationes: 1
Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί,

Implete meum gaudium, vt idem sapiatis, eandem charitatem habentes, vnanimes, vnum sentientes: 2
πληρώσατέ μου τὴν χαράν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες·

Nihil per contentionem aut inanem gloriam, sed modestia alij alios arbitrantes superiores sibi- ipsis: 3
μηδὲν κατὰ ἐριθείαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν·

Non quæ sua singuli considerate, sed & aliorum vnusquisque. 4
μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος.

Hoc enim sentiatur in vobis, quod & in Christo Iesu: 5
τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ·

Qui in forma Dei existens, non rapinam arbitratus esse se æqualem Deo: 6
ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ·

Sed semetipsum exinaniuit, formam serui accipiens, in similitudine hominum factus, & habitu inuentus vt homo. 7
ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος.

Humiliauit semetipsum, factus obediens vsque ad mortem: mortem autem crucis. 8
ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.

Ideo & Deus illum superexaltauit, & donauit illi nomen super omne nomen. 9
διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα.

Vt in nomine Iesu omne genu flectatur, cælestium, & terrestrium, & infernorum, 10
ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων,

Et omnis lingua confiteatur, quia Dominus Iesus Christus, in gloriam Dei Patris. 11
καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν θεοῦ πατρός.

Itaque, dilecti mei (sicut) semper obedistis mihi, non in præsentia mea tantùm, sed & nunc multò magis in absentia mea, cum metu & tremore vestram ipsorum salutem adoperamini. 12
ὥστε, ἀγαπητοί μου, καθὼς πάντοτε ὑπηκούσατέ μου, μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε.

Deus enim est efficiens in vobis & velle, & perficere, pro beneuolentia. 13
ὁ θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας.

Omnia facite sine ira, & disceptationibus. 14
πάντα ποιεῖτε χωρὶς ὀργῆς καὶ διαλογισμῶν,

Vt sitis irreprehensi, & simplices, filij Dei, inculpati in medio nationis prauæ & peruersæ, in quibus splendetis sicut luminaria in mundo: 15
ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα θεοῦ, ἀμώμητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης, ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ,

Verbum vitæ continentes, ad gloriationem mihi in diem Christi, quia non in vanum cucurri, neque in vanum laboraui. 16
λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα ἐμοὶ εἰς ἡμέραν Χριστοῦ, ὅτι οὐκ εἰς κενὸν ἔδραμον, οὐδὲ εἰς κενὸν ἐκοπίασα.

Sed si & libor super hostia & sacrificio fidei vestræ, gaudeo & congratulor omnibus vobis. 17
ἀλλ' εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν·

Id autem ipsum & vos gaudete, & congratulamini mihi. 18
τὸ δ' αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι.

Spero autem in Domino Iesu, Timotheum citò mittere vobis, vt & ego bono animo sim, cognoscens quæ circa vos. 19
ἐλπίζω δὲ ἐν κυρίῳ Ἰησοῦ, Τιμόθεον ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν.

Neminem enim habeo vnanimem, qui germane ea quæ circa vos curaturus sit. 20
οὐδένα γὰρ ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει.

Omnes enim ea quæ sua ipsorum quærunt, nõ ea quæ Christi Iesu. 21
οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ τοῦ Χριστοῦ Ἰησοῦ.

At probationem eius cognoscite, quoniã sicut patri filius, cum me seruiuit in euangelium. 22
τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον, σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον.

Hunc quidem igitur spero mittere, vt videro ea quæ circa me, ex ipso. 23
τοῦτον μὲν οὖν ἐλπίζω πέμψαι, ὡς ἂν ἀπίδω τὰ περὶ ἐμέ, ἐξαυτῆς.

Confido autem in Domino, quoniam & ipse citò veniam. 24
πέποιθα δὲ ἐν κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύσομαι.

Necessarium autẽ existimaui, Epaphroditum fratrem, & cooperatorem & commilitonem meum, vestrũ autẽ apostolum, & ministrum vsus mei, mittere ad vos. 25
ἀναγκαῖον δὲ ἡγησάμην, Ἐπαφρόδιτον τὸν ἀδελφόν, καὶ συνεργὸν καὶ συστρατιώτην μου, ὑμῶν δὲ ἀπόστολον, καὶ λειτουργὸν τῆς χρείας μου, πέμψαι πρὸς ὑμᾶς.

Quoniam expetens erat omnes vos, & mœstus, eo quòd audieratis quòd ægrotasset. 26
ἐπειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς, καὶ ἀδημονῶν, διότι ἠκούσατε ὅτι ἠσθένησε.

Etenim infirmatus est proximè morti, sed Deus eius misertus est: non eius autem solùm, verùm & mei, ne tristitiam super tristitiã haberem. 27
καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτῳ, ἀλλ' ὁ θεὸς αὐτὸν ἠλέησεν· οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ.

Studiosius ergo misi illum, vt videntes eum, iterum, gaudeatis, & ego sine tristitia sim. 28
σπουδαιοτέρως οὖν ἔπεμψα αὐτόν, ἵνα ἰδόντες αὐτὸν πάλιν, χαρῆτε, κἀγὼ ἀλυπότερος ὦ.

Excipite itaque illum in Domino cum omni gaudio, & eiusmodi in pretio habetote: 29
προσδέχεσθε οὖν αὐτὸν ἐν κυρίῳ μετὰ πάσης χαρᾶς, καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε·

Quoniã propter opus Christi vsque mortem accessit, postbabens animam, vt rursus impleret vestram defectionem eius quod ad me obsequij. 30
ὅτι διὰ τὸ ἔργον τοῦ Χριστοῦ μέχρι θανάτου ἤγγισε, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας.

CAP. III. γ'.

Reliquum, fratres mei, gaudete in Domino. Eadem scribere vobis, mihi quidem non pigrum, vobis autem tutum. 1
Τὸ λοιπόν, ἀδελφοί μου, χαίρετε ἐν κυρίῳ. τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές.

Videte canes, videte malos operarios, videte concisionem. 2
βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν.

Nos enim sumus circuncisio, spiritu Deo seruientes, & gloriantes in Christo Iesu, & non in carne confidentes: 3
ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή, οἱ πνεύματι θεῷ λατρεύοντες, καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες.

Et quanquã ego habens 4
καίπερ ἐγὼ ἔχων

πεποί-

confidentiam & in carne. si quis videtur alius confi-
πεποίθησιν καὶ ἐν σαρκί. εἴ τις δοκεῖ ἄλλος πεποι-
dere in carne, ego magis. Circumcisio octaui
θέναι ἐν σαρκί, ἐγὼ μᾶλλον. περιτομῇ ὀκταή- 5
diei, ex genere Israël, tribus Beniamin, He-
μερος, ἐκ γένους Ἰσραήλ, φυλῆς Βενιαμίν, ἑ-
bræus ex Hebræis, secundùm legem Pharisæus. Secundùm ze-
βραῖος ἐξ ἑβραίων, κατὰ νόμον φαρισαῖος, κατὰ ζῆ- 6
lum, persequens ecclesiam, secundùm iustitiam quæ
λον, διώκων τὴν ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν
in lege, factus irreprehensibilis. Sed quæ erant
ἐν νόμῳ γενόμενος ἄμεμπτος. ἀλλ' ἅτινα ἦν 7
mihi lucra, hæc arbitratus sum propter Christum damnum.
μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν.
Sed profectò & existimo omnia damnum esse
ἀλλὰ μενοῦνγε καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι 8
propter eminentiam cognitionis Christi Iesu Do-
διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ κυ-
mini mei, propter quem omnia damnum subij, & arbitror
ρίου μου, δι' ὃν τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι
stercora esse, vt Christum lucrifaciam, Et inueniar
σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω, καὶ εὑρεθῶ 9
in illo non habens meam iustitiam quæ ex le-
ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νό-
ge est, sed illam quæ per fidem Christi, illam quæ ex Deo iu-
μου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ θεοῦ δι-
stitiam in fide: Ad cognoscendū illum, &
καιοσύνην ἐπὶ τῇ πίστει· τοῦ γνῶναι αὐτόν, καὶ 10
virtutem resurrectionis eius, & communionem
τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν κοι-
communionem passionum illius, configuratus
νωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφούμενος τῷ
morti eius: Si quomodo occurram ad
θανάτῳ αὐτοῦ· εἴ πως καταντήσω εἰς τὴν 11
resurrectionem mortuorum. Non quòd iā acceperim, aut
ἐξανάστασιν τῶν νεκρῶν. οὐχ ὅτι ἤδη ἔλαβον, ἢ 12
iam perfectus sim, sequor autem, si & comprehendam, in
ἤδη τετελείωμαι, διώκω δέ, εἰ καὶ καταλάβω, ἐφ'
quo & comprehensus sum à Domino Iesu Christo.
ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ.
Fratres, ego meipsum non arbitror comprehen-
ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειλη- 13
disse: vnū autē, quæ quidē retrò obliuiscens, in quæ
φέναι· ἓν δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς
verò ante extensus. Ad scopum perse-
δὲ ἔμπροσθεν ἐπεκτεινόμενος. κατὰ σκοπὸν διώ- 14
quor, ad brauium supernæ vocationis Dei in
κω, ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ θεοῦ ἐν
Christo Iesu. Quicunque ergo perfecti, hoc sentiamus:
Χριστῷ Ἰησοῦ. ὅσοι οὖν τέλειοι, τοῦτο φρονῶμεν· 15
& si quid aliter sapitis, & hoc Deus vobis reue-
καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ θεὸς ὑμῖν ἀπο-
labit. Verumtamen ad quod peruenimus, eadem
καλύψει. πλὴν εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ 16
incedere regula, idem sapere. Imitatores mei
στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν. συμμιμηταί μου 17
estote, fratres, & obseruate ita ambulan-
γίνεσθε ἀδελφοί, καὶ σκοπεῖτε τοὺς οὕτω περιπατοῦν-
tes sicut habetis exemplum nos. Multi enim am-
τας καθὼς ἔχετε τύπον ἡμᾶς. πολλοὶ γὰρ περι- 18
bulant, quos sæpe dicebam vobis, (nunc autē &
πατοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ
flens dico,) inimicos crucis Christi:
κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ.
Quorum finis interitus, quorum Deus venter, &
ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ 19
gloria in confusione ipsorū, illi terrena sapien-
δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦν-
tes. Nostra enim conuersatio in cælis est,
τες. ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, 20
vnde etiam Saluatorem expectamus Dominum Iesum Chri-
ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα κύριον Ἰησοῦν Χρι-

† Circuncisus octaua die. † de tribu
† æmulationem
† Dei,
* est, conuersatus sine querela.
† fuerunt
† detrimenta. Verumtamen
* detrimentum
† eminentem scientiam
† detrimentum feci,
* ζημιόω
* vt
* κερδαίνω
† est,
† ex fide est
† est iustitia
† societatem
* συμμορφόω
† quæ est ex mortuis.
* καταλαμβάνω
* sunt
† ad ea verò quæ sunt priora extendens meipsum.
† destinatum
* Quicunque sumus.
† in
* permanemus
† vt sapiamus.
* eos qui
† formam nostram.
† est,
* qui sapiant.
† autem conuersatio
* vnde
† nostrum

stum: Qui reformabit corpus humilitatis
στόν· ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως 21
nostræ, ad esse illud conforme corpori
ἡμῶν, εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι
gloriæ suæ, secundùm operationem posse
τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι
eum & subiicere sibiipsi omnia.
αὐτὸν καὶ ὑποτάξαι ἑαυτῷ τὰ πάντα.

CAP. IIII. δ'.

Itaque, fratres mei dilecti & exoptati,
1 Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι,
gaudium & corona mea, sic state in Domino, di-
χαρὰ καὶ στέφανός μου, οὕτω στήκετε ἐν κυρίῳ, ἀ-
lecti. Euhodiam rogo, & Syntychen
2 γαπητοί. Εὐωδίαν παρακαλῶ, καὶ Συντύχην
deprecor idipsum sapere in Domino. Etiam rogo
3 παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν κυρίῳ. καὶ ἐρωτῶ
& te, frater germane, adiuua eas quæ
καὶ σέ, σύζυγε γνήσιε, συλλαμβάνου αὐταῖς αἵτινες
in Euangelio simul certarunt mihi, cum & Clemen-
ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι, μετὰ καὶ Κλήμεν-
te, & cæteris cooperantibus meis, quorum nomina in
τος, καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν
libro vitæ. Gaudete in Domino semper, ite-
4 βίβλῳ ζωῆς. χαίρετε ἐν κυρίῳ πάντοτε, πά-
rum dico, gaudete. Modestia vestra nota sit
5 λιν ἐρῶ, χαίρετε. τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω
omnibus hominibus. Dominus prope. Nihil solliciti
6 πᾶσιν ἀνθρώποις. ὁ κύριος ἐγγύς. μηδὲν μεριμ-
ti sitis, sed in omni oratione & obsecratione
νᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει
cum gratiarum actione petitiones vestræ innotescant
μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω
apud Deum. Et pax Dei superans
7 πρὸς τὸν θεόν. καὶ ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέχουσα
omnem sensum, custodiat corda vestra, & intel-
πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοή-
ligentias vestras in Christo Iesu. Reliquum, fra-
8 ματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. τὸ λοιπόν, ἀδελ-
tres, quæcunq; sunt vera, quæcunq; honesta, quæcunq; iusta, quæ-
φοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅ-
cunq; pura, quæcunque amabilia, quæcunq; bonæ famæ, si qua
σα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις
virtus, & si qua laus, hæc cogitate. Quæ &
9 ἀρετή, καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε. ἃ καὶ
didicistis, & accepistis, & audistis, & vidistis
ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε
in me, hæc agite, & Deus pacis
ἐν ἐμοί, ταῦτα πράσσετε, καὶ ὁ θεὸς τῆς εἰρήνης
erit cum vobis. Gauisus sum autē in Domino magnopere,
10 ἔσται μεθ' ὑμῶν. ἐχάρην δὲ ἐν κυρίῳ μεγάλως,
quoniā iam aliquando reuiruistis pro me sentire,
ὅτι ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν,
in quo & sentiebatis, opportunitate carebatis autē. Nō quòd propter
11 ἐφ' ᾧ καὶ ἐφρονεῖτε, ἠκαιρεῖσθε δέ. οὐχ ὅτι καθ'
penuriam dico: ego enim didici, in quibus sum, contentus
ὑστέρησιν λέγω· ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμί, αὐτάρ-
ipse esse. Scio & humiliari, scio & abundare;
12 κης εἶναι. οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν·
(in omni & in omnibus institutus sum) & saturari, &
ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι, καὶ χορτάζεσθαι, καὶ
esurire, & abundare, & penuriam pati. Omnia
13 πεινᾶν, καὶ περισσεύειν, καὶ ὑστερεῖσθαι. πάντα
possum in eo corroborante me Christo. Verumtamē
ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. πλὴν
pulchrè fecistis communicantes meæ tribula-
14 καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλί-
tioni. Scitis autem & vos, Philippenses, quòd in
15 ψει. οἴδατε δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν
principio euangelij, quando exij à Macedo-
ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακεδο-

† claritatis
* quæ etiā possit.
* charissimi
† desideratissimi.
* meum
* charissimi.
† compar
† adiuua illas
* quæ
† laborauerunt
* συναθλέω
* adiutoribus
† sunt
* γνώσθη
† enim
† est.
† quæ exuperat
† De cætero,
* pudica,
† sancta,
† disciplinæ,
* vobiscū.
† vehementer
† tandem
* refloruistis
* ἀναθάλλω
† sicut occupati eratis.
† quasi
* ἀκαιρέω
* sufficiens
* vbique
* μυέομαι
† qui confortat
* ἐνδυναμόω
* bene
† profectus sum

nia, nulla mihi ecclesia communicauit in ratio-
νίας, οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λό-
nem † dationis & acceptionis, si non vos soli. Quia &
γον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι. ὅτι καὶ 16
* in Thessalonica & semel & bis in vsum mihi
ἐν θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι
misistis. Non quia quæro ‡ donum, sed
ἐπέμψατε. οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ' 17
requiro fructum abundantem in rationē ve-
ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑ-
stram. ‡ Accepi autem omnia, & abundo: repletus
μῶν. ἀπέχω δὲ πάντα, καὶ περισσεύω· πεπλήρω- 18
sum * accipiens ab Epaphrodito ea quæ à vobis,
μαι δεξάμενος παρὰ ἐπαφροδίτου τὰ παρ' ὑμῶν,
odorem suauitatis, hostiam acceptam, beneplacentem Deo.
ὀσμὴν εὐωδίας, θυσίαν δεκτήν, εὐάρεστον τῷ θεῷ.
At Deus † meus impleat * omnem vsum vestrū secūdum
ὁ δὲ θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν 19
diuitias suas in gloria, in Christo Iesu. At
πλοῦτον αὐτοῦ ἐν δόξῃ, ἐν χριστῷ ἰησοῦ. τῷ δὲ 20
Deo †, & Patri nostro gloria in secula seculo-
θεῷ, καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώ-
rum. Amen. Salutate omnem sanctum in Chri-
νων. ἀμήν. ἀσπάσασθε πάντα ἅγιον ἐν χρι- 21
sto Iesu. Salutant vos qui ‡ cum me fra-
στῷ ἰησοῦ. ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελ- 22
tres. salutant vos omnes sancti, maximè autē
φοί. ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ
qui de Cæsaris domo *. Gratia Domini ‡ Iesu
οἱ ἐκ τῆς καίσαρος οἰκίας. ἡ χάρις τοῦ κυρίου ἰησοῦ 23
Christi cum † omnibus vobis. Amen.
χριστοῦ μετὰ πάντων ὑμῶν. ἀμήν.

Ad Philippenses scripta est à Roma
Πρὸς φιλιππησίους ἐγράφη ἀπὸ ῥώμης
per Epaphroditum.
διὰ ἐπαφροδίτου.

† dati & accepti, nisi
* Thessalonicam
‡ datum,
‡ Habeo
* acceptis ‡ misistis,
† autem * omne desiderium
‡ autem,
‡ mecum sunt
* sunt. nostri ‡
† spiritu vestro

SANCTI PAVLI
Η ΤΟΥ ΑΓΙΟΥ ΠΑΥΛΟΥ
AD COLOSSENSES
ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ
Epistola.
ἐπιστολή.

CAPVT PRIMVM. Κεφ. α'.

PAVLVS Apostolus Iesu Christi per
ΠΑΥΛΟΣ ἀπόστολος ἰησοῦ χριστοῦ διὰ 1
voluntatem Dei, & Timotheus fra-
θελήματος θεοῦ, καὶ τιμόθεος ὁ ἀδελ-
ter, Iis qui in Colossis sanctis & fidelibus fratri-
φός, τοῖς ἐν κολοσσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελ- 2
bus in Christo *. Gratia vobis, & pax à
φοῖς ἐν χριστῷ. χάρις ὑμῖν, καὶ εἰρήνη ἀπὸ 3
Deo Patre nostro, & Domino Iesu Christo. gra-
θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου ἰησοῦ χριστοῦ. εὐ-
tias agimus Deo, & Patri Domini nostri
χαριστοῦμεν τῷ θεῷ, καὶ πατρὶ τοῦ κυρίου ἡμῶν
Iesu Christi, semper pro vobis orantes,
ἰησοῦ χριστοῦ, πάντοτε περὶ ὑμῶν προσευχόμενοι,
Audientes fidem vestram in Christo Iesu,
ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν χριστῷ ἰησοῦ, 4
& dilectionem ‡ quæ in omnes sanctos,
καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους,
Propter spem ‡ sepositam vobis in
διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς 5
cœlis, quam prœaudistis in verbo veri-
οὐρανοῖς, ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀλη-

* sunt
‡ Iesu:
‡ quam habetis
‡ quæ reposita est

tatis Euangelij, * Peruenientis ad vos,
θείας τοῦ εὐαγγελίου, τοῦ παρόντος εἰς ὑμᾶς, 6
sicut & in vniuerso mundo, ‡ & † est fructi-
καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ, καὶ ἐστι καρπο-
ficans, & crescens, sicut & in vobis,
φορούμενον, καὶ αὐξανόμενον, καθὼς καὶ ἐν ὑμῖν,
ex qua die audistis & cognouistis gra-
ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε τὴν χά-
tiam Dei in veritate: Sicut didicistis ab
ριν τοῦ θεοῦ ἐν ἀληθείᾳ· καθὼς * ἐμάθετε ἀπὸ 7
Epaphra * dilecto conseruo nostro, qui est
ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστι
fidelis pro vobis minister Christi ‡: Qui etiā de-
πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ χριστοῦ· ὁ καὶ δη- 8
clarans nobis vestram dilectionem in spiritu.
λώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι.
* Propter hoc & nos ex qua die audiuimus,
διὰ τοῦτο καὶ ἡμεῖς ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, 9
non cessamus pro vobis orantes, & po-
οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι, καὶ αἰ-
stulantes, vt impleamini agnitionem volun-
τούμενοι, ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελή-
tatis eius, in omni sapientia & intellectu spiri-
ματος αὐτοῦ, ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευμα-
tali. ‡ Ambulare vos dignè † Domino in
τικῇ. περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ κυρίου εἰς 10
omnem gratiam, in omni opere bono fructi-
πᾶσαν ἀρέσκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρπο-
ficantes, & crescentes in scientiam
φοροῦντες, καὶ αὐξανόμενοι εἰς τὴν ἐπίγνωσιν τοῦ
Dei. In omni * potestate corroborati secundùm
θεοῦ. ἐν πάσῃ δυνάμει δυναμούμενοι κατὰ τὸ 11
‡ vim gloriæ eius, in omni patientia &
κράτος τῆς δόξης αὐτοῦ, εἰς πᾶσαν ὑπομονὴν καὶ
longanimitate cum gaudio: Gratias agentes
μακροθυμίαν μετὰ χαρᾶς· εὐχαριστοῦντες τῷ 12
Deo, & Patri ‡ illi idoneos facienti nos in par-
θεῷ, καὶ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν με-
tem sortis sanctorum in lumine. Qui e-
ρίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί. ὃς ἐρ- 13
ripuit nos de potestate tenebrarum, & trans-
ρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ με-
tulit in regnum filij dilectionis
τέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης
suæ: In quo habemus redemptionem, remissio-
αὐτοῦ· ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφε- 14
nem peccatorum. Qui est imago Dei inui-
σιν τῶν ἁμαρτιῶν. ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀο- 15
sibilis, primogenitus omnis creaturæ: Quoniā in ipso
ράτου, πρωτότοκος πάσης κτίσεως· ὅτι ἐν αὐτῷ 16
condita sunt vniuersa quæ in cælis, & quæ in
ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ
terra, visibilia & inuisibilia, siue throni, si-
τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴ-
ue dominationes, siue principatus, siue potestates:
τε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι· τὰ
omnia per ipsum & in * ipsum creata sunt: Et ipse
πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτός 17
est ante omnes, & omnia in ipso constant:
ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε.
Et ipse est caput corporis Eccle-
καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλη- 18
siæ, qui est principium, primogenitus ex mortuis:
σίας, ὅς ἐστιν ἀρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν·
vt sit in omnibus ipse primatum tenens. Quia in
ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων. ὅτι ἐν 19
ipso complacuit, omnem plenitudinem inhabitare.
αὐτῷ εὐδόκησε, πᾶν τὸ πλήρωμα κατοικῆσαι.
Et per eum reconciliare omnia in ipsum,
καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν, 20
pacificans per sanguinem crucis eius,
εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ,
δι' αὐ-

* Quod peruenit
‡ est, † fructificat, & crescit
* ἐπέγνωτε
* mathonta
* charissimo
‡ Iesu: ‡ manifestauit
* Ideo
‡ Vt ambuletis ‡ Deo, per omnia placentes,
* virtute confortati
‡ potentiã claritatis.
‡ qui dignos fecit
* ῥύσματι
* ipso
* εὐδόκησε

per ipsum, siue quæ in † terra, siue quæ in cæ-
δι' αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρα-
lis. Et vos aliquando existentes alienatos &
νοῖς. καὶ ὑμᾶς ποτὲ ὄντας ἀπηλλοτριωμένους καὶ 21
inimicos mente, in operibus malis.
ἐχθροὺς τῇ διανοίᾳ, ἐν τοῖς ἔργοις τοῖς πονηροῖς.
Nunc autem reconciliauit in corpore car-
νυνὶ δὲ ἀποκατήλλαξεν ἐν τῷ σώματι τῆς σαρ- 22
nis eius per mortem, ‖ sistere vos san-
κὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁ-
ctos, & immaculatos, & * inculpatos coram
γίους, καὶ ἀμώμους, καὶ ἀνεγκλήτους κατενώπιον
ipso. Si tamen permanetis ‖ fidei funda-
αὐτοῦ. Εἴγε ἐπιμένετε τῇ πίστει τεθεμελιω- 23
ti & † firmi, & * non transmoti à
μένοι καὶ ἑδραῖοι, καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς
spe, euangelij quod audistis, ‡ prædica-
ἐλπίδος, τοῦ εὐαγγελίου οὗ ἠκούσατε, τοῦ κηρυχθέν-
ti in vniuersa creatura quæ ‡ sub cælo, cuius
τος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν, οὗ
factus sum ego Paulus minister. *Nunc gaudeo in
ἐγενόμην ἐγὼ Παῦλος διάκονος. νῦν χαίρω ἐν 24
passionibus meis pro vobis, & ‖ rursus reádim-
τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπλη-
pleo defectiones afflictionum Christi in
ρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ
carne mea pro corpore eius quod est ec-
σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκ-
clesia. Cuius factus sum ego minister secundùm
κλησία. ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν 25
dispensationem Dei † datam mihi in vos,
οἰκονομίαν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς,
implere verbum Dei. Mysterium
πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ. τὸ μυστήριον 26
‡ illud absconditum à seculis, & à
τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων, καὶ ἀπὸ
generationibus, nûc autẽ manifestatum est sanctis e-
τῶν γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐ-
ius: Quibus voluit Deus ‡ notum facere *quæ diui-
τοῦ, οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι τίς ὁ πλοῦ- 27
tiæ gloriæ ‖ mysterij huius in Genti-
τος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνε-
bus, ‡ qui est Christus, in vobis, spes gloriæ.
σιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης.
Quem nos annuntiamus, * admonentes om-
ὃν ἡμεῖς καταγγέλλομεν, νουθετοῦντες πά- 28
nem hominem, & docentes in omni sa-
ντα ἄνθρωπον, καὶ διδάσκοντες ἐν πάσῃ σο-
pientia, vt ‖ sistamus omnem hominem in
φίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον ἐν
‡ Christo Iesu. In quod & laboro * decertans
Χριστῷ Ἰησοῦ. εἰς ὃ καὶ κοπιῶ ἀγωνιζόμενος 29
secundùm operationem eius ‖ operatam in
κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνεργουμένην ἐν
me in virtute.
ἐμοὶ ἐν δυνάμει.

CAP. II. β'.

Volo enim vos scire, * quantum certamen habeam
Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω 1
pro vobis, & ‡ eis qui in Laodicea, & quotquot non vi-
ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ, καὶ ὅσοι οὐχ ἑω-
derunt faciem meam in carne: Vt con-
ράκασι τὸ πρόσωπόν μου ἐν σαρκί. ἵνα * πα- 2
solentur corda ipsorum ‖ compactorum
ρακληθῶσιν αἱ καρδίαι αὐτῶν συμβιβασθέντων
in charitate, & in omnes diuitias plenitudi
ἐν ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφο-
nis intellectus, in agnitionem mysterij
ρίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυστηρίου
Dei, & Patris, & Christi *: In quo sunt om-
τοῦ Θεοῦ καὶ πατρός, καὶ τοῦ Χριστοῦ, ἐν ᾧ εἰσι πάν- 3

† terris · * sunt. · ‡ cum essetis alienati & inimici sensu. · ‖ exhibere · * irreprehensibiles. · ‖ in fide · † stabiles, * immobiles · ‡ quod prædicatũ est · ‡ est · * Qui · ‖ adimpleo ea quæ desunt passionum · ‡ quæ data est · * vobis, vt impleam · ‡ quod fuit · * generationibus · ‡ notas · * diuitias · ‖ sacramenti · ‡ quod · * corripientes · ‖ exhibeamus · ‡ perfectũ · * certando · ‖ quem operatur · * qualem solicitudinem · ‡ pro illis Laodiceæ, & quicunque · * συμβι- · ‖ instructi · * Patris.

nes thesauri sapientiæ, & scientiæ abscon-
τες οἱ θησαυροὶ τῆς σοφίας, καὶ τῆς γνώσεως ἀπό-
diti. Hoc autem dico, vt nemo vos de-
κρυφοι. τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλο- 4
cipiat in ‖ suasibilitate sermonum. † Si enim & car-
γίζηται ἐν πιθανολογίᾳ. εἰ γὰρ καὶ τῇ σαρ- 5
ne absum, sed spiritu vobiscum sum, gau
κὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι, χαί-
dens & videns vestrum ordinem, & firmamentum
ρων καὶ βλέπων ὑμῶν τὴν τάξιν, καὶ τὸ στερέωμα
eius quæ in ‡ Christum fidei vestræ. Sicut ergo accepi-
τῆς εἰς Χριστὸν πίστεως ὑμῶν. ὡς οὖν παρελά- 6
stis Christum Iesum Dominum, in ipso ambu-
βετε τὸν Χριστὸν Ἰησοῦν τὸν κύριον, ἐν αὐτῷ περι-
late, Radicati & superædificati in
πατεῖτε. ἐρριζωμένοι καὶ ἐποικοδομούμενοι ἐν 7
ipso, & confirmati in fide, sicut ‖ edocti
αὐτῷ, καὶ βεβαιούμενοι ἐν τῇ πίστει, καθὼς ἐδιδά-
estis, abundantes in † ea in gratiarum actione.
χθητε, περισσεύοντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ.
Videte ne quis vos ‡ sit abigens per
βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ 8
philosophiam, & inanem fallaciam, secundùm tra-
τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν πα-
ditionem hominum, secundùm elementa mun-
ράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσ-
di, & non secũdùm Christum. Quia in ipso inhabitat
μου, καὶ οὐ κατὰ Χριστόν. ὅτι ἐν αὐτῷ κατοικεῖ 9
omnis plenitudo ‡ deitatis corporaliter. Et
πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς. καὶ 10
estis in illo repleti, qui est caput om-
ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πά-
nis principatus & potestatis: In quo & circuncisi
σης ἀρχῆς καὶ ἐξουσίας. ἐν ᾧ καὶ * περιετμή- 11
estis circuncisione non manu facta, in ‖ exutione
θητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει
corporis peccatorum carnis, in circun-
τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός, ἐν τῇ περι-
cisione Christi: Consepulti ei in
τομῇ τοῦ Χριστοῦ. συνταφέντες αὐτῷ ἐν τῷ 12
baptismo, in quo & † consurrexistis per fi-
βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πί-
dem operationis Dei ‖ suscitantis illum ‡ ex
στεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ
mortuis. Et vos ‖ mortuos existentes in de-
τῶν νεκρῶν. καὶ ὑμᾶς νεκροὺς ὄντας ἐν τοῖς πα- 13
lictis, & præputio carnis vestræ,
ραπτώμασι, καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν,
conuiuificauit vos cum illo, condonans † no-
συνεζωοποίησεν ὑμᾶς σὺν αὐτῷ, χαρισάμενος ἡ-
bis omnia delicta, Delens ‡ illud
μῖν πάντα τὰ παραπτώματα. ἐξαλείψας τὸ 14
aduersus nos chirographum ‡ edictis, quod erat subcō-
καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεν-
trarium nobis, & ipsum tulit de medio, affi-
αντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώ-
gens illud cruci: ‖ Expolians princi-
σας αὐτὸ τῷ σταυρῷ. ἀπεκδυσάμενος τὰς ἀρ- 15
patus, & potestates traduxit † in liberta-
χὰς, καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παρρη-
te, triumphans illos in seipso ‡ Ne ergo
σίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ. μὴ οὖν 16
quis vos iudicet in cibo, aut in potu, aut in par-
τις ὑμᾶς κρινέτω ἐν βρώσει, ἢ ἐν πόσει, ἢ ἐν μέ-
te ‡ festi, aut ‖ nouiluniæ, aut sabbatorum: Quæ sunt vmbra
ρει ἑορτῆς, ἢ νουμηνίας, ἢ σαββάτων. ἅ ἐστι σκιὰ 17
futurorum, at corpus † Christi. Nemo
τῶν μελλόντων, τὸ δὲ σῶμα τοῦ Χριστοῦ. μηδεὶς 18
vos seducat, volens in humili-
ὑμᾶς * καταβραβευέτω, θέλων ἐν ταπεινο-
tate & religione angelorum, quæ non
φροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ

‖ sublimitate · † Nam etsi corpore absens sum · ‡ est · ‡ Christo · ‖ & didicistis, · † illo · ‡ decipiens · ‡ diuinitatis · * -θητε · ‖ expoliatione · † resurrexistis · ‖ qui suscitauit · ‡ à · ‖ cùm mortui essetis · † vobis · ‡ quod erat · ‡ decretis · * ἦρκε · ‖ Et · † confidẽter, palam · ‡ Nemo · ‡ diei · ‖ neomeniæ · † autem · * καταβραβευέτω

vidit † *incedens*, frustra inflatus à
ἑώρακεν ἐμβατεύων, εἰκῆ φυσιούμενος ὑπὸ τοῦ
sensu carnis suæ: Et non tenens ca-
νοὸς τῆς σαρκὸς αὐτοῦ· καὶ οὐ κρατῶν τὴν κεφα- 19
put, ex quo totum corpus per nexus & coniun-
λήν, ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέ-
ctiones subministratum, & constructum, * *augescit*
σμων ἐπιχορηγούμενον, καὶ συμβιβαζόμενον, αὔξει
augmentum Dei. Si ergo mortui estis cum
τὴν αὔξησιν τοῦ θεοῦ. Εἰ οὖν ἀπεθάνετε σὺν 20
Christo, ab elementis ‡ mundi, quid tanquam
τῷ χριστῷ, ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς
viuentes in mundo * *dogmatizamini?* Ne ‡ *tetigeris*, ne
ζῶντες ἐν κόσμῳ δογματίζεσθε; μὴ ἅψῃ, μὴ 21
† *gustaueris*, ne *contrectaueris*: Quæ sunt omnia in ‡ *corruptionem*
γεύσῃ, μὴ θίγῃς· ἅ ἐστι πάντα εἰς φθορὰν τῇ 22
vsu, secundum præcepta & doctrinas
ἀποχρήσει, κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας
hominum: Quæ sunt rationem quidem habentia
τῶν ἀνθρώπων· ἅτινά ἐστι λόγον μὲν ἔχοντα 23
sapientiæ in ‡ *voluntario cultu*, & *submissione animi*,
σοφίας ἐν ἐθελοθρησκείᾳ, καὶ ταπεινοφροσύνῃ,
& *subductione corporis* non in honore aliquo ad * *exple-*
καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλη-
tionem carnis.
σμονὴν τῆς σαρκός.

CAP. III. γ'.

Si igitur consurrexistis * Christo, quæ ‡ sursum quæ-
Εἰ οὖν * συνηγέρθητε τῷ χριστῷ, τὰ ἄνω ζη- 1
rite, vbi Christus est in dextera Dei sedens:
τεῖτε, οὗ ὁ χριστός ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος·
Quæ ‡ sursum sapite, non quæ super terram. Mortui
τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς. ἀπε- 2 3
estis enim, & vita vestra est abscondita cum Chri-
θάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ χρι-
sto in Deo. Cùm Christus apparuerit, vita
στῷ ἐν τῷ θεῷ. ὅταν ὁ χριστὸς φανερωθῇ, ἡ ζωὴ 4
† *nostra*, tunc & vos cum ipso apparebitis in
ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν
gloria. Mortificate ergò membra vestra quæ super
δόξῃ. νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς 5
terrâ, fornicationem, immunditiam, ‡ *mollitiem*, concupiscentiā
γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν
malam, & auaritiam, quæ est ‡ *idolo-*
κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλο-
latria: Propter quæ venit ira Dei in
λατρεία· δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς 6
filios incredulitatis: In quibus & vos ambu-
υἱοὺς τῆς ἀπειθείας· ἐν οἷς καὶ ὑμεῖς περιεπα- 7
lastis aliquando, cum viueretis in illis. Nunc autem
τήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς. νυνὶ δὲ 8
deponite & vos omnia iram, * *excandescentiā*, ma-
ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν, κα-
litiam, blasphemiam, ‡ *turpiloquium* ex ore
κίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος
vestro. † *Ne mentimini in inuicem*, expo-
ὑμῶν. μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυ- 9
liantes * veterem hominem cum a-
σάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πρά-
ctibus suis. Et ‡ *induti* nouum eum ‡ *re-*
ξεσιν αὐτοῦ· καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνα- 10
nouatum in agnitionem, secūdum imaginē eius qui crea-
καινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτί-
uit eum. Vbi non est * *Græcus* & Iudæus,
σαντος αὐτόν. ὅπου οὐκ ἔνι ἕλλην καὶ ἰουδαῖος, 11
circuncisio & præputium. Barbarus ‡. Scytha:
περιτομὴ καὶ ἀκροβυστία. βάρβαρος, σκύθης
seruus, † liber: sed omnia & in omnibus Chri-
δοῦλος, ἐλεύθερος· ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι χρι-
stus. Induite * ergo, sicut electi Dei, sancti,
στός. ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ θεοῦ, ἅγιοι 12

& dilecti, viscera ‡ *miserationis*, benignita-
καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμοῦ, χρηστότη-
tem, humilitatem, modestiam, ‡ *longanimi-*
τα, ταπεινοφροσύνην, πρᾳότητα, μακροθυ-
tatem: Supportantes * *alij alios*, & condonantes vobis-
μίαν· ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυ- 13
metipsis si quis aduersus aliquē habet querelam: sicut &
τοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ
‡ *Christus* condonauit † *nobis*, ita & vos. Super
ὁ χριστὸς ἐχαρίσατο ἡμῖν, οὕτω καὶ ὑμεῖς. ἐπὶ 14
omnia autē hæc, charitatem *, quæ est vinculum
πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος
perfectionis: Et pax ‡ *Dei* *supe*
τῆς τελειότητος· καὶ ἡ εἰρήνη τοῦ θεοῦ βραβευέ- 15
ret in cordibus vestris: in quam & vocati estis
τω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε
in vno corpore, & grati estote. Verbum
ἐν ἑνὶ σώματι, καὶ εὐχάριστοι γίνεσθε. ὁ λόγος τοῦ 16
Christi inhabitet in vobis abundanter, in omni sa-
χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σο-
pientia, docentes & commonentes vosmetipsos, psal-
φίᾳ, διδάσκοντες καὶ * νουθετοῦντες ἑαυτούς, ψαλ-
mis, & hymnis, & canticis spiritualibus, in gratia
μοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, ἐν χάριτι
cantantes in ‡ *corde vestro* *Domino*. Et omne
ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ κυρίῳ. καὶ πᾶν 17
quodcunque facitis in verbo aut in opere, omnia in no-
ὅ, τι ἂν ποιῆτε ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀ-
mine Domini * Iesu, gratias agentes Deo, & pa-
νόματι κυρίου ἰησοῦ, εὐχαριστοῦντες τῷ θεῷ καὶ πα-
tri per ipsum. Mulieres, subditæ estote
τρὶ δι' αὐτοῦ. αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς 18
viris, sicut ‡ *conuenit* in Domino. Viri,
ἀνδράσιν, ὡς ἀνῆκεν ἐν κυρίῳ. οἱ ἄνδρες, 19
diligite vxores, & † *ne amarulenti sitis* ad
ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς
illas. Filij, obedite parentibus per
αὐτάς. τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ 20
omnia: hoc enim est beneplacitum in Domino. Pa-
πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον ἐν κυρίῳ. οἱ πα- 21
tres, ‡ *ne irritate* filios vestros, vt non pusillo
τέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυ-
animo fiant. Serui, obedite per omnia
μῶσιν. οἱ δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς 22
‡ *secundùm carnē* dominis, non * *in oculorum seruitiis* quasi ho-
κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλείαις ὡς ἀν-
minibus placentes, sed in simplicitate cordis, ti-
θρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φο-
mentes Deum. Et omne quodcunque facitis, ex
βούμενοι τὸν θεόν. καὶ πᾶν ὅ, τι ἐὰν ποιῆτε, ἐκ 23
animo operamini, sicut Domino, & non ho-
ψυχῆς ἐργάζεσθε, ὡς τῷ κυρίῳ, καὶ οὐκ ἀν-
minibus: Scientes ‡ à Domino accipietis
θρώποις· εἰδότες ὅτι ἀπὸ κυρίου ἀπολήψεσθε 24
retributionem hæreditatis: nam Domino
τὴν ἀνταπόδοσιν τῆς κληρονομίας· τῷ γὰρ κυρίῳ
Christo † *seruitis*. At iniuriam faciens reportabit quod
χριστῷ δουλεύετε. ὁ δὲ ἀδικῶν * κομιεῖται ὃ 25
iniquè gessit, & non est personarum acceptio ‡.
ἠδίκησε, καὶ οὐκ ἔστι προσωποληψία.

CAP. IIII. δ'.

Domini, * iustum & ‡ *æqualitatem* ser-
Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δού- 1
uis præstate, scientes quoniam & vos habetis Do-
λοις παρέχεσθε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε κύ-
minū in ‡ *cælo*. Orationi ‡ *perdurate*,
ριον ἐν οὐρανοῖς. τῇ προσευχῇ προσκαρτερεῖτε, 2
vigilantes in ea in gratiarū actione: Oran-
γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ· προσευχό- 3
tes simul & pro nobis, vt Deus aperiat & nobis
μενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ θεὸς ἀνοίξῃ ἡμῖν
θύραν

Marginal notes: † ambulans, * crescit in, ‡ bruta ‡ adhuc, * decernitis? ‡ tetigeritis, † quæ gustaueritis * quæ contrectaueritis: ‡ interitū ipso, ‡ superstitione, & humilitate, & non ad parcendum corpori, * saturitatem; * cum ‡ sunt * συνηγέρθη ‡ sunt; † vestra, * sunt; ‡ libidinē, ‡ simulachrorum seruitus. * indignationem, * ἀποτίθεμαι καὶ ἀπεκδύομαι; ‡ turpem sermonem de; † Nolite mentiri * vos ‡ induentes, ‡ qui renouatur; * Gentilis ‡ &; † &; ‡ est; ‡ misericordis, ‡ patientiam, * inuicem; ‡ Dominus † vobis, * habete, quod ‡ Christi, exultet; * rudientes; ‡ cordibus vestris Deo.; * Christi; ‡ oportet * ἀνήκω ‡ nolite amari esse; ‡ nolite ad indignationem prouocare; ‡ carnalibus * ad oculum seruientes; ‡ quòd; † seruite. Qui enim iniuriam facit, recipiet id; * κομίζομαι ‡ apud Deum. * quod est æquum. ‡ cælo. ‡ instate.

ostium sermonis, loqui mysterium Christi, (propter
θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ χριστοῦ, δι'
quod etiā vinctus sum:) Vt manifestem illud, vt oportet me
ὃ καὶ δέδεμαι· ἵνα φανερώσω αὐτό, ὡς δεῖ με
loqui. In sapientia ambulate ad eos qui fo-
λαλῆσαι. ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔ-
ris sunt, tempus redimentes. Sermo vester
ξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. ὁ λόγος ὑμῶν
semper, in gratia, sale conditus, scire quomodo
πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς
oporteat vos vnicuique respondere. Quæ circa me
δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Τὰ κατ' ἐμὲ
omnia nota faciet vobis Tychicus dilectus fra-
πάντα γνωρίσει ὑμῖν τυχικὸς ὁ ἀγαπητὸς ἀδελ-
ter, & fidelis minister, & conseruus in Domino:
φός, καὶ πιστὸς διάκονος, καὶ σύνδουλος ἐν κυρίῳ·
Quem misi ad vos ad ipsum hoc, vt cognoscat
ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῷ
quæ circa vos, & consoletur corda vestra:
τὰ περὶ ὑμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν·
Cum Onesimo fideli & dilecto fratre,
σὺν ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ,
qui est ex vobis: omnia vobis nota facient quæ hic.
ὅς ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε.
Salutat vos Aristarchus concapti-
ἀσπάζεται ὑμᾶς ἀρίσταρχος ὁ συναιχμάλω-
uus meus, & Marcus consobrinus Barnabæ, (de quo acce-
τός μου, καὶ μάρκος ὁ ἀνεψιὸς βαρνάβα, περὶ οὗ ἐλά-
pistis mandata: Si venerit ad vos, excipite il-
βετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐ-
lum:) Et Iesus dictus Iustus, existentes ex cir-
τόν· καὶ ἰησοῦς ὁ λεγόμενος ἰοῦστος, οἱ ὄντες ἐκ πε-
cuncisione, hi soli cooperarij in regnum
ριτομῆς, οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ
Dei, qui facti sunt mihi solatium. Salu-
θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία. ἀσπά-
tat vos Epaphras qui est ex vobis, seruus Christi,
ζεται ὑμᾶς ἐπαφρᾶς ὁ ἐξ ὑμῶν, δοῦλος χριστοῦ,
semper decertans pro vobis in ora-
πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσ-
tionibus, vt stetis perfecti & pleni in
ευχαῖς, ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν
omni voluntate Dei. Testor enim illi,
παντὶ θελήματι τοῦ θεοῦ. μαρτυρῶ γὰρ αὐτῷ,
quòd habet zelum multum pro vobis, & iis qui in Lao-
ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν λαο-
dicea, & qui in Hierapoli. Salutat vos
δικείᾳ, καὶ τῶν ἐν ἱεραπόλει. ἀσπάζεται ὑμᾶς
Lucas medicus dilectus, & Demas. Saluta-
λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητός, καὶ δημᾶς. ἀσπάσα-
te illos qui in Laodicia fratres, & Nympham, &
σθε τοὺς ἐν λαοδικείᾳ ἀδελφούς, καὶ νυμφᾶν, καὶ
illam quæ per domum eius ecclesiam. Et cùm lecta
τὴν κατ' οἶκον αὐτοῦ ἐκκλησίαν. καὶ ὅταν ἀνα-
fuerit apud vos epistola, facite vt & in
γνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν
Laodicensium ecclesia legatur, & eā quæ Lao-
τῇ λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ λαο-
dicia, vt & vos legatis. Et dicite Ar-
δικείας, ἵνα καὶ ὑμεῖς ἀναγνῶτε. καὶ εἴπατε ἀρ-
chippo, Vide ministerium quod accepisti in Do-
χίππῳ, βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν κυ-
mino, vt illud impleas. Salutatio, mea
ρίῳ, ἵνα αὐτὴν πληροῖς. ὁ ἀσπασμός, τῇ ἐμῇ
manu Pauli. memores estote meorum vinculorum. gra-
χειρὶ παύλου. μνημονεύετέ μου τῶν δεσμῶν. ἡ χά-
tia vobiscum. amen.
ρις μεθ' ὑμῶν. ἀμήν.

Ad Colossenses scripta est à Roma per
Πρὸς κολοσσαεῖς ἐγράφη ἀπὸ ῥώμης διὰ
Tychicum & Onesimum.
τυχικοῦ καὶ ὀνησίμου.

SANCTI PAVLI
Η ΤΟΥ ΑΓΙΟΥ ΠΑΥΛΟΥ
AD THESSALONICENSES
ΠΡΟΣ ΤΕΣΣΑΛΟΝΙΚΕΙΣ
Epistola prima.
ἐπιστολὴ πρώτη.

CAPVT PRIMVM. Κεφ. α.

PAVLVS & Siluanus, & Timotheus,
1 ΠΑΥΛΟΣ καὶ σιλουανός, καὶ τιμόθεος,
ecclesiæ Thessalonicensium in Deo
τῇ ἐκκλησίᾳ θεσσαλονικέων ἐν θεῷ
patre, & Domino Iesu Christo, gratia vobis, &
πατρί, καὶ κυρίῳ ἰησοῦ χριστῷ, χάρις ὑμῖν, καὶ
pax à Deo patre nostro, & Domino Iesu
εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου ἰησοῦ
Christo. Gratias agimus Deo semper pro
2 χριστοῦ. εὐχαριστοῦμεν τῷ θεῷ πάντοτε περὶ
omnibus vobis, mentionem vestri facientes in
πάντων ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν
orationibus nostris, indesinenter memores
3 προσευχῶν ἡμῶν, ἀδιαλείπτως μνημονεύοντες
vestri operis fidei, & laboris charitatis
ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς ἀγά-
tatis, & sustinentiæ spei Domini nostri Ie-
πης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ κυρίου ἡμῶν ἰη-
put eius; (diadema) Asiæ & Ægypti. Alexander
φαλὴν αὐτοῦ, τὸ τῆς ἀσίας καὶ αἰγύπτου. ἀλέξανδρος 14
autem rex erat in Cilicia in temporibus illis;
δὲ ὁ βασιλεὺς ἦν ἐν κιλικίᾳ κατὰ τοὺς καιροὺς ἐκείνους,
quia rebellabant qui de locis illis. Et audi-
ὅτι ἀπεστάτουν οἱ ἀπὸ τῶν τόπων ἐκείνων. καὶ ἤκου- 15
uit Alexander, & venit contra eum in bellum, & eduxit
σε ἀλέξανδρος, καὶ ἦλθεν ἐπ' αὐτὸν πολέμῳ, καὶ ἐξήγαγε
Ptolemæus, & occurrit ei in manu forti, & fu-
πτολεμαῖος, καὶ ἀπήντησεν αὐτῷ ἐν χειρὶ ἰσχυρᾷ, καὶ ἐ-
gauit eum. Et fugit Alexander in Ara-
τροπώσατο αὐτόν. καὶ ἔφυγεν ἀλέξανδρος εἰς τὴν ἀρα- 16
biam, vt protegeretur ipse ibi: at rex Pto-
βίαν, τοῦ σκεπασθῆναι αὐτὸν ἐκεῖ· ὁ δὲ βασιλεὺς πτο-
lemæus exaltatus est. Et abstulit Zabdiel Arabs
λεμαῖος ὑψώθη. καὶ ἀφεῖλε ζαβδιὴλ ὁ ἄραψ τὴν 17
caput Alexandri, & misit Ptolemæo.
κεφαλὴν ἀλεξάνδρου, καὶ ἀπέστειλε τῷ πτολεμαίῳ.
Et rex Ptolemæus mortuus est die tertio,
καὶ ὁ βασιλεὺς πτολεμαῖος ἀπέθανε τῇ ἡμέρᾳ τρίτῃ, 18
& existentes in munitionibus suis occisi sunt ab
καὶ οἱ ὄντες ἐν τοῖς ὀχυρώμασιν αὐτοῦ ἀπώλοντο ὑπὸ
his qui in munitionibus. Et regnauit Demetrius an-
τῶν ἐν τοῖς ὀχυρώμασι. καὶ ἐβασίλευσε δημήτριος ἔ-
no septimo & sexagesimo & centesimo. In die-
τους ἑβδόμου καὶ ἑξηκοστοῦ καὶ ἑκατοστοῦ. ἐν ταῖς ἡμέ- 19
bus illis congregauit Ionathas eos qui de Iu-
ραις ἐκείναις συνήγαγεν ἰωνάθαν τοὺς ἐκ τῆς ἰου- 20
dæa, vt expugnaret arcem quæ in Hieru-
δαίας, τοῦ ἐκπολεμῆσαι τὴν ἄκραν τὴν ἐν ἱερου-
salem, & fecit contra eam machinas multas.
σαλὴμ, καὶ ἐποίησεν ἐπ' αὐτὴν μηχανὰς πολλάς.
Et abierunt quidam odio habentes gentes illorum
καὶ ἐπορεύθησάν τινες μισοῦντες τὸ ἔθνος αὐτῶν 21
viri iniqui ad regem, & nunciaue-
ἄνδρες παράνομοι πρὸς τὸν βασιλέα, καὶ ἀπήγγει-
runt ei quòd Ionathas obsidet arcem.
λαν αὐτῷ ὅτι ἰωνάθαν περικάθηται τὴν ἄκραν.
Et audiens iratus est. Vt autem audiuit, statim cum iter
καὶ ἀκούσας ὠργίσθη. ὡς δὲ ἤκουσεν, εὐθέως ἀναζεύ- 22
fecisset, venit in Ptolemaidem, & scripsit Ionathæ, vt
ξας ἦλθεν εἰς πτολεμαΐδα, καὶ ἔγραψεν ἰωνάθαν, τοῦ
non obsideret, & vt occurreret ipse ei vt con-
μὴ περικαθῆσθαι, καὶ τοῦ ἀπαντῆσαι αὐτὸν αὐτῷ συμ-
uenirent in Ptolemaide citò. Vt autẽ au-
μίσγειν εἰς πτολεμαΐδα τὴν ταχίστην. ὡς δὲ ἤκου- 23

diuit Ionathas, iussit obsidere. & elegit
σεν ἰωνάθαν, ἐκέλευσε περικαθῆσθαι, καὶ ἐπέλεξε τῶν
ex presbyteris Israel & sacerdotibus & dedit se
πρεσβυτέρων ἰσραὴλ καὶ τῶν ἱερέων, καὶ ἔδωκεν ἑαυτὸν
periculo. Et accipiens argentum & aurum &
24 τῷ κινδύνῳ. καὶ λαβὼν ἀργύριον καὶ χρυσίον καὶ
vestem & alia munuscula plura, iuit ad
ἱματισμὸν καὶ ἕτερα ξένια πλείονα, ἐπορεύθη πρὸς
regem in Ptolemaidem, & inuenit gratiam coram
τὸν βασιλέα εἰς πτολεμαΐδα, καὶ εὗρε χάριν ἐνώπιον
eo. Et interpellabant contra eum quidam iniqui eorũ qui ex
25 αὐτοῦ. καὶ ἐνετύγχανον κατ' αὐτοῦ τινες ἄνομοι τῶν ἐκ
gente. Et fecit illi rex ita ut
26 τοῦ ἔθνους. καὶ ἐποίησεν αὐτῷ ὁ βασιλεὺς καθὼς
fecerunt ei qui ante eum: & exaltauit eum coram
ἐποίησαν αὐτῷ οἱ πρὸ αὐτοῦ, καὶ ὕψωσεν αὐτὸν ἐναντίον
omnibus amicis suis. Et statuit ei prin-
27 πάντων τῶν φίλων αὐτοῦ. καὶ ἔστησεν αὐτῷ τὴν ἀρ-
cipatũ sacerdotij & quæcunque alia habebat pretiosa prius: &
χιερωσύνην καὶ ὅσα ἄλλα εἶχε τίμια τὸ πρότερον, καὶ
fecit eum præesse primis amicorum. Et roga-
28 ἐποίησεν αὐτὸν τῶν πρώτων φίλων ἡγεῖσθαι. καὶ ἠξίω-
uit Ionathas regem vt faceret Iudæam immu-
σεν ἰωνάθαν τὸν βασιλέα ποιῆσαι τὴν ἰουδαίαν ἀφο-
nem tributorũ & tres toparchias & Samaritin,
ρολόγητον καὶ τὰς τρεῖς τοπαρχίας καὶ τὴν σαμαρεῖτιν,
& promisit ei talenta trecenta. Et con-
29 καὶ ἐπηγγείλατο αὐτῷ τάλαντα τριακόσια. καὶ εὐδό-
sensit rex, & scripsit Ionathæ epistolas
κησεν ὁ βασιλεὺς, καὶ ἔγραψε τῷ ἰωνάθαν ἐπιστολὰς
de omnibus his, habentes modum hunc.
30 περὶ πάντων τούτων ἐχούσας τὸν τρόπον τοῦτον. Βα-
Rex Demetrius Ionathæ fratri gaudere, & genti
σιλεὺς δημήτριος ἰωνάθαν τῷ ἀδελφῷ χαίρειν καὶ ἔθνει
Iudæorum. Exemplum epistolæ quam scripsi-
31 ἰουδαίων. Τὸ ἀντίγραφον τῆς ἐπιστολῆς ἧς ἐγρά-
mus Lastheni cognato nostro de vobis, scripsi-
ψαμεν λασθένει τῷ συγγενεῖ ἡμῶν περὶ ὑμῶν, γεγρά-
mus & ad vos vt videatis. Rex De-
32 φαμεν καὶ πρὸς ὑμᾶς ὅπως ἴδητε. Βασιλεὺς δη-
metrius Lastheni parenti gaudere. Genti Iu-
33 μήτριος λασθένει τῷ πατρὶ χαίρειν. τῷ ἔθνει τῶν ἰου-
dæorum amicis nostris, & conseruantibus erga nos iu-
δαίων φίλοις ἡμῶν καὶ συντηροῦσι τὰ πρὸς ἡμᾶς δί-
sta, decreuimus benefacere, propter illorum
καια ἐκρίναμεν ἀγαθοποιῆσαι, χάριν τῆς ἐξ αὐτῶν
beneuolentiã erga nos. Statuimus ipsis fines
34 εὐνοίας πρὸς ἡμᾶς. ἑστάκαμεν αὐτοῖς τά τε ὅρια
Iudææ tres nomos, Apherema & Lyddam
τῆς ἰουδαίας τοὺς τρεῖς νομοὺς, ἀφαίρεμα καὶ λύδδαν
& Rathamin, additæ sunt Iudææ à
καὶ ῥαθαμὶν προσετέθησαν τῇ ἰουδαίᾳ ἀπὸ τῆς
Samaritide, & omnia attinentia ad ipsos
σαμαρείτιδος καὶ πάντα τὰ συγκυροῦντα αὐτοῖς
omnes sacrificantes in Hierusalem, pro
πᾶσι τοῖς θυσιάζουσιν εἰς ἱεροσόλυμα, ἀντὶ τῶν
regalibus quæ accipiebat rex ab i-
βασιλικῶν ὧν ἐλάμβανεν ὁ βασιλεὺς παρ' αὐ-
psis prius per singulos annos de fru-
τῶν τὸ πρότερον κατ' ἐνιαυτὸν ἀπὸ τῶν γε-
ctibus terræ & de fructibus arborum.
νημάτων τῆς γῆς καὶ ἀπὸ τῶν ἀκροδρύων.
Et alia pertinentia ad nos ex nunc de-
35 καὶ τὰ ἄλλα τὰ ἀνήκοντα ἡμῖν ἀπὸ τοῦ νῦν τῶν δε-
cimarum & tributorum pertinentium ad nos, &
κατῶν καὶ τῶν τελῶν τῶν ἀνηκόντων ἡμῖν, καὶ τὰς τῶν
salis stagna, & pertinentes ad nos coronas, om-
ἁλῶν λίμνας, καὶ τοὺς ἀνήκοντας ἡμῖν στεφάνους, πάν-
nia concedemus eis. Et non erit irritum quicquam ho-
36 τα ἐπαρκέσομεν αὐτοῖς. καὶ οὐκ ἀθετηθήσεται οὐδὲν τού-

rum à nunc vsque in omne tempus. Nunc ergo
τῶν ἀπὸ τοῦ νῦν ἐπὶ τὸν ἅπαντα χρόνον. νῦν οὖν 37
curate facere horum exemplum, & detur
ἐπιμελήθητε τοῦ ποιῆσαι τούτων ἀντίγραφον, καὶ δοθήτω
Ionathæ, & ponatur in monte sancto in loco
ἰωνάθαν, καὶ τεθήτω ἐν τῷ ὄρει τῷ ἁγίῳ ἐν τόπῳ
vtili celebri. Et vidit Demetrius rex
ἐπιτηδείῳ ἐπισήμῳ. καὶ εἶδε δημήτριος ὁ βασιλεὺς 38
quòd siluit terra coram eo, & nihil ei re-
ὅτι ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ καὶ οὐδὲν αὐτῷ ἀνθει-
stitit, & dimisit omnes exercitus suos, vnumquemque
στήκει, καὶ ἀπέλυσε πάσας τὰς δυνάμεις αὐτοῦ ἕκαστον
in propriū locum præter peregrinos exercitus quos col-
εἰς τὸν ἴδιον τόπον πλὴν τῶν ξένων δυνάμεων ὧν ἐξε-
legit ab insulis gentium: & inimici fuerunt ei
νολόγησεν ἀπὸ τῶν νήσων τῶν ἐθνῶν καὶ ἤχθραναν αὐτῷ
omnes exercitus qui à patribus. Tryphon autē
πᾶσαι αἱ δυνάμεις αἱ ἀπὸ τῶν πατέρων. τρύφων δὲ 39
erat eorum qui ab Alexandro prius, & vidit quod om-
ἦν τῶν παρὰ ἀλεξάνδρου τὸ πρότερον, καὶ εἶδεν ὅτι πᾶ-
nes exercitus murmurant contra Demetrium, & i-
σαι αἱ δυνάμεις καταγογγύζουσι τοῦ δημητρίου, καὶ ἐ-
uit ad Simalcue Arabem, qui nutriebat An-
πορεύθη πρὸς σιμαλκουὲ τὸν ἄραβα ὃς ἔτρεφε τὸν ἀν-
tiochum filium Alexandri, Et affi-
τίοχον τὸ παιδάριον τὸ τοῦ ἀλεξάνδρου, καὶ προσή- 40
debat ei vt traderet eum ipsi, vt regna-
δρευεν αὐτῷ ὅπως παραδοῖ αὐτὸν αὐτῷ, ὅπως βασι-
ret pro patre eius: & nunciauit ei quan-
λεύσῃ ἀντὶ τοῦ πατρὸς αὐτοῦ. καὶ ἀπήγγειλεν αὐτῷ ὅ-
ta fecit Demetrius, & inimicitiam qua pro-
σα συνετέλεσε δημήτριος καὶ τὴν ἔχθραν ἣν ἐχ-
sequuntur eum exercitus eius, & mansit
θραίνουσιν αὐτῷ αἱ δυνάμεις αὐτοῦ, καὶ ἔμεινεν
illic diebus multis. Et misit Ionathas
ἐκεῖ ἡμέρας πολλάς. καὶ ἀπέστειλεν ἰωνάθαν 41
epistolas ad Demetrium regem, vt eii-
ἐπιστολὰς πρὸς δημήτριον τὸν βασιλέα ἵνα ἐκ-
ceret eos qui de arce ex Hierusalem, & qui in
βάλῃ τοὺς ἐκ τῆς ἄκρας ἐξ ἱερουσαλὴμ καὶ τοὺς ἐν τοῖς
munitionibus: erant enim oppugnantes Israel. Et
ὀχυρώμασιν, ἦσαν γὰρ πολεμοῦντες τὸν ἰσραήλ. καὶ 42
misit Demetrius ad Ionathan, dicens: Non tantùm
ἀπέστειλε δημήτριος πρὸς ἰωνάθαν λέγων· οὐ μόνον
hæc faciam tibi & genti tuæ; sed gloria illustrabo
ταῦτα ποιήσω σοι καὶ τῷ ἔθνει σου, ἀλλὰ δόξῃ δοξάσω
te & gentem tuam, si oppotunitatem habuero. Nunc ergo re-
σε καὶ τὸ ἔθνος σου, ἐὰν εὐκαιρίας τύχω. νῦν οὖν ὀρ- 43
ctè facies mittens ad me viros qui auxilien-
θῶς ποιήσεις ἀποστείλας μοι ἄνδρας οἳ συμμαχήσου-
tur; quoniam discesserunt omnes exercitus mei. Et mi-
σιν, ὅτι ἀπέστησαν πᾶσαι αἱ δυνάμεις μου. καὶ ἀ- 44
sit Ionathas viros tres mille potentes fortitudini
πέστειλεν ἰωνάθαν ἄνδρας τρισχιλίους δυνατοὺς ἰσχύϊ
ei in Antiochiam, & venerunt ad regem, &
αὐτῷ εἰς ἀντιόχειαν, καὶ ἦλθον πρὸς τὸν βασιλέα, καὶ
lætatus est rex in aduentu illorum. Et
εὐφράνθη ὁ βασιλεὺς ἐπὶ τῇ ἐφόδῳ αὐτῶν. καὶ 45
conuenerunt qui de ciuitate in medium vrbis
ἐπισυνήχθησαν οἱ ἐκ τῆς πόλεως εἰς μέσον τῆς πόλεως
ad virorum centum viginti millia, & volebant interficere
εἰς ἀνδρῶν δώδεκα μυριάδας, καὶ ἤθελον ἀνελεῖν τὸν
regem. Et fugit rex in aulam,
βασιλέα. καὶ ἔφυγεν ὁ βασιλεὺς εἰς τὴν αὐλήν, 46
& occupauerunt qui de ciuitate itinera
καὶ κατελάβοντο οἱ ἐκ τῆς πόλεως τὰς διόδους τῆς
vrbis & cœperunt pugnare. Et vocauit
πόλεως καὶ ἤρξαντο πολεμεῖν. καὶ ἐκάλεσεν ὁ βασι- 47
rex Iudæos in auxilium, & conuenerunt
λεὺς τοὺς ἰουδαίους ἐπὶ βοήθειαν, καὶ ἐπισυνήχθησαν

ad eum omnes simul & dispersi sunt in ci-
πρὸς αὐτὸν πάντες ἅμα καὶ διεσπάρησαν ἐν τῇ πό-
uitate. Et occiderunt in vrbe in die
48 λει. καὶ ἀπέκτειναν ἐν τῇ πόλει ἐν τῇ ἡμέρᾳ
illa ad centum millia, & succenderunt ci-
ἐκείνῃ εἰς μυριάδας δέκα, καὶ ἐνεπύρισαν τὴν πό-
uitatem, & ceperunt spolia multa in illa di-
λιν, καὶ ἔλαβοσαν σκῦλα πολλὰ ἐν ἐκείνῃ τῇ ἡμέ-
e, & liberauerunt regem. Et viderunt qui de
49 ρᾳ, καὶ ἔσωσαν τὸν βασιλέα. καὶ εἶδον οἱ ἀπὸ τῆς
ciuitate quòd obtinuerunt, Iudæi ciui-
πόλεως ὅτι κατεκράτησαν, οἱ ἰουδαῖοι τῆς πό-
tatem sicut volebant, & infirmati sunt mentibus
λεως ὡς ἤθελον, καὶ ἠσθένησαν ταῖς διανοίαις
suis, & clamauerunt ad regem cum pre
αὐτῶν, καὶ ἐκέκραξαν πρὸς τὸν βασιλέα μετὰ δεή-
cibus, dicentes: Da nobis dextras & cessent
50 σεως, λέγοντες· δὸς ἡμῖν δεξιὰς καὶ παυσάσθωσαν
Iudæi oppugnare nos & ciuitatem.
οἱ ἰουδαῖοι πολεμοῦντες ἡμᾶς καὶ τὴν πόλιν.
Et proiecerunt arma, & fecerunt pacem,
51 καὶ ἔρριψαν τὰ ὅπλα, καὶ ἐποίησαν εἰρήνην,
& glorificati sunt Iudæi coram re-
καὶ ἐδοξάσθησαν οἱ ἰουδαῖοι ἐναντίον τοῦ βασι-
ge, & coram omnibus qui in regno
λέως καὶ ἐνώπιον πάντων τῶν ἐν τῇ βασιλείᾳ
eius, & regressi sunt in Hierusalem habentes spo-
αὐτοῦ, καὶ ἐπέστρεψαν εἰς ἱερουσαλὴμ ἔχοντες σκῦ-
lia multa. Et sedit Demetrius rex
52 λα πολλά. καὶ ἐκάθισε δημήτριος ὁ βασιλεὺς
in sede regni sui, & siluit terra
ἐπὶ θρόνου τῆς βασιλείας αὐτοῦ, καὶ ἡσύχασεν ἡ γῆ
in conspectu eius. Et mentitus est omnia quæcunque dixit, &
53 ἐνώπιον αὐτοῦ. καὶ ἐψεύσατο πάντα ὅσα εἶπεν, καὶ
abalienatus est ab Ionatha, & non retribuit
ἠλλοτριώθη τῷ ἰωνάθαν, καὶ οὐκ ἀνταπέδωκεν
secundum beneficia quæ retribuit sibi, & vexabat e-
κατὰ τὰς εὐνοίας ἃς ἀνταπέδωκεν αὐτῷ, καὶ ἔθλιβεν αὐ-
um valde. Post autem hæc reuersus est Tryphon,
54 τὸν σφόδρα. μετὰ δὲ ταῦτα ἀπέστρεψε τρύφων
& Antiochus cum eo puer iunior, & re-
καὶ ἀντίοχος μετ' αὐτοῦ παιδάριον νεώτερον, καὶ ἐβα-
gnauit & imposuit sibi diadema. Et congregati
55 σίλευσε καὶ ἐπέθετο διάδημα. καὶ ἐπισυνήχθη-
sunt ad eum omnes exercitus quos disperse-
σαν πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις ἃς ἀπεσκοράκι-
rat Demetrius, & pugnauerunt contra eum, & fu-
σε δημήτριος, καὶ ἐπολέμησαν πρὸς αὐτόν, καὶ ἔφυ-
git & fugatus est. Et accepit Tryphon bestias, &
56 γε καὶ ἐτροπώθη. καὶ ἔλαβε τρύφων τὰ θηρία, καὶ
obtinuit Antiochiam. Et scripsit Antiochus
57 κατεκράτησεν ἀντιοχείας. καὶ ἔγραψεν ἀντίοχος ὁ
iunior Ionathæ, dicens: Constituo tibi sacerdotij principatū,
νεώτερος ἰωνάθῃ λέγων· ἵστημί σοι τὴν ἀρχιερωσύνην,
& constituo te super quatuor ciuitates, & vt sis tu
καὶ καθίστημί σε ἐπὶ τῶν τεσσάρων νομῶν, καὶ εἶναί σε τῶν
ex amicis regis. Et misit ei vasa au-
58 φίλων τοῦ βασιλέως. καὶ ἀπέστειλεν αὐτῷ χρυσώ-
rea & ministerium, & dedit ei potestatem bibendi
ματα καὶ διακονίαν, καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν πίνειν
in aureis vasis, & vt esset in purpura, & vt haberet fibulam
ἐν χρυσώμασι, καὶ εἶναι ἐν πορφύρᾳ καὶ ἔχειν πόρπην
auream. Et Simonem fratrem eius constituit
59 χρυσῆν. καὶ σίμωνα τὸν ἀδελφὸν αὐτοῦ κατέστησε
ducem ab ascensu Tyri vsque ad fines Æ-
στρατηγὸν ἀπὸ τῆς κλίμακος τύρου ἕως τῶν ὁρίων αἰ-
gypti. Et exiit Ionathas & perambulat trans
60 γύπτου. καὶ ἐξῆλθεν ἰωνάθαν καὶ διεπορεύετο πέραν
flumen & in vrbibus, & congregati sunt ad
τοῦ ποταμοῦ καὶ ἐν ταῖς πόλεσι, καὶ ἠθροίσθησαν πρὸς
αὐτὸν

cum omnes exercitus Syriæ in auxilium,
αὐτῷ πᾶσαι αἱ δυνάμεις συρίας εἰς συμμαχίαν,
& venit in Ascalonem, & occurrerunt ei
καὶ ἦλθεν εἰς ἀσκάλωνα, καὶ ἀπήντησαν αὐτῷ οἱ
qui de ciuitate honorificè. Et abiit inde
ἐκ τῆς πόλεως ἐνδόξως. καὶ ἀπῆλθεν ἐκεῖθεν 61
in Gazam, & concluserunt se qui de gaza, & ob-
εἰς γάζαν καὶ ἀπέκλεισαν οἱ ἀπὸ γάζης, καὶ περιε-
sedit circum eam, & succendit suburbana
κάθισεν περὶ αὐτὴν, καὶ ἐνεπύρισε τὰ περιπόλια
eius igne, & prædatus est eas. Et rogauerunt
αὐτῆς πυρὶ, καὶ ἐσκύλευσεν αὐτάς. καὶ ἠξίωσαν 62
qui de gaza Ionathan, & dedit eis dextras: &
οἱ ἀπὸ γάζης ἰωνάθαν, καὶ ἔδωκεν αὐτοῖς δεξιάς· καὶ
accepit filios principum eorum in obsides, &
ἔλαβε τοὺς υἱοὺς τῶν ἀρχόντων αὐτῶν εἰς ὅμηρα, καὶ
misit eos in Hierusalem, & perambulauit
ἐξαπέστειλεν αὐτοὺς εἰς ἱερουσαλὴμ, καὶ διῆλθε τὴν
regionem vsque ad Damascum. Et audiuit Ionathan quòd ade-
χώραν ἕως δαμασκοῦ. καὶ ἤκουσεν ἰωνάθαν ὅτι παρῆ- 63
rant principes Demetrij in Cades quæ est in Gali-
σαν οἱ ἄρχοντες δημητρίου εἰς κάδης τὴν ἐν τῇ γαλι-
læa, cum exercitu multo, volentes remoue-
λαίᾳ μετὰ δυνάμεως πολλῆς, βουλόμενοι μεταστῆ-
re eum à regione. Et occurrit eis: at
σαι αὐτὸν τῆς χώρας. καὶ συνήντησεν αὐτοῖς, τὸν δὲ 64
fratrem eius Simonem reliquit in regione. Et
ἀδελφὸν αὐτοῦ σίμωνα κατέλιπε τῇ χώρᾳ. καὶ 65
posuit castra Simon in Bethsura, & expugnabat eam
παρενέβαλε σίμων ἐπὶ βαιθσοῦρα, καὶ ἐπολέμει αὐτὴν
diebus multis, & conclusit eam. Et postula-
ἡμέρας πολλὰς, καὶ συνέκλεισεν αὐτήν. καὶ ἠξίω- 66
uerunt eum dextras accipere, & dedit eis & eie-
σαν αὐτὸν τοῦ δεξιὰς λαβεῖν, καὶ ἔδωκεν αὐτοῖς καὶ ἐξέ-
cit eos inde, & cepit ciuitatem, &
βαλεν αὐτοὺς ἐκεῖθεν, καὶ κατελάβετο τὴν πόλιν καὶ
posuit in eo præsidium. Et Ionathas & ca-
ἔθετο ἐπ' αὐτὴν φρουράν. καὶ ἰωνάθαν καὶ ἡ παρεμ- 67
stra eius applicuerunt ad aquam Gennesar; & sur-
βολὴ αὐτοῦ παρενέβαλον ἐπὶ τὸ ὕδωρ γεννησάρ· καὶ ὤρ-
rexerunt manè in campo Nasor. Et ecce
θρισαν τὸ πρωῒ εἰς τὸ πεδίον νασώρ. καὶ ἰδοὺ 68
castra alienigenarum occurrebant ei in campo,
παρεμβολὴ ἀλλοφύλων ἀπήντα αὐτῷ ἐν τῷ πεδίῳ,
& eiecerunt insidias contra eum in montibus, i-
καὶ ἐξέβαλον ἔνεδρον ἐπ' αὐτὸν ἐν τοῖς ὄρεσιν, αὐ-
psi autem occurrerunt ex aduerso. At insidiæ ex-
τοὶ δὲ ἀπήντησαν ἐξεναντίας. τὰ δὲ ἔνεδρα ἐξ- 69
surrexerunt de locis suis, & commiserunt prœ-
ανέστησαν ἐκ τῶν τόπων αὐτῶν, καὶ συνῆψαν πό-
lium. Et fugerunt qui à Ionatha omnes, ne-
λεμον. καὶ ἔφυγον οἱ παρὰ ἰωνάθου πάντες, οὐδὲ 70
mo relictus est ab eis præterquam Mattathias (filius)
εἷς κατελείφθη ἀπ' αὐτῶν πλὴν ματταθίας ὁ τοῦ
Absalomi, & Iudas (filius) Chalphi principes mi-
ἀψαλώμου καὶ ἰούδας ὁ τοῦ χαλφὶ ἄρχοντες τῆς στρα-
litiæ exercituum. Et scidit Ionathas vesti-
τιᾶς τῶν δυνάμεων. καὶ διέρρηξεν ἰωνάθαν τὰ ἱμά- 71
menta sua, & imposuit terram super caput suum,
τια αὐτοῦ, καὶ ἐπέθηκε γῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ,
& orauit: Et reuersus est ad eos
καὶ προσηύξατο· καὶ ὑπέστρεψε πρὸς αὐτοὺς 72
in prœlio, & fugauit illos, & fugerunt. Et viderūt
πολέμῳ, καὶ ἐτροπώσατο αὐτοὺς καὶ ἔφυγον. καὶ εἶδον 73
fugientes ab eo & reuersi sunt ad eum,
οἱ φεύγοντες παρ' αὐτοῦ, καὶ ἀπέστρεψαν πρὸς αὐτὸν,
& persecuti sunt cum eo vsque ad Cades, vsque ad castra
καὶ ἐδίωκον μετ' αὐτοῦ ἕως κάδης ἕως τῆς παρεμβολῆς
eorum: & castra posuerunt ibi. Et ceciderunt de alie-
αὐτῶν, καὶ παρενέβαλον ἐκεῖ. καὶ ἔπεσον ἐκ τῶν ἀλ- 74

nigenis in die illa ad viros tres mille:
λοφύλων ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς ἄνδρας τρισχιλίους·
& reuersus est Ionathas in Hierusalem.
καὶ ἐπέστρεψεν ἰωνάθαν εἰς ἱερουσαλήμ.

CAP. XII. ιβ'.

Et vidit Ionathas quòd tempus eum iuuat, &
1 Καὶ εἶδεν ἰωνάθαν ὅτι ὁ καιρὸς αὐτῷ συνεργεῖ, καὶ
elegit viros, & misit ad Romam ad statuendum
ἐπέλεξεν ἄνδρας, καὶ ἀπέστειλεν εἰς ῥώμην στῆσαι
& renouandum erga eos amicitiam; Et
2 καὶ ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς φιλίαν· καὶ
ad Spartiatas & loca alia misit
πρὸς σπαρτιάτας καὶ τόποις ἑτέροις ἀπέστειλεν
epistolas secundum hæc. Et abierunt in Romam,
3 ἐπιστολὰς κατὰ ταῦτα. καὶ ἐπορεύθησαν εἰς ῥώμην,
& ingressi sunt in senatum, & dixerunt: Ionathas
καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον, καὶ εἶπον· ἰωνάθαν
sacerdotū princeps & gens Iudæorum misit nos
ὁ ἀρχιερεὺς καὶ τὸ ἔθνος τῶν ἰουδαίων ἀπέστειλεν ἡμᾶς
vt renouaremus amicitiam eis, & societatem
ἀνανεώσασθαι τὴν φιλίαν αὐτοῖς καὶ τὴν συμμαχίαν
secundum prius. Et dederunt epistolas eis ad
4 κατὰ τὸ πρότερον· καὶ ἔδωκαν ἐπιστολὰς αὐτοῖς πρὸς
eos per locum, vt deducerent eos in
αὐτοὺς κατὰ τόπον, ὅπως προπέμπωσιν αὐτοὺς εἰς
terram Iuda cum pace. Et hoc exemplum
5 γῆν ἰούδα μετ' εἰρήνης. καὶ τοῦτο τὸ ἀντίγραφον
epistolarum quas scripsit Ionathas Spartiatis
τῶν ἐπιστολῶν ὧν ἔγραψεν ἰωνάθαν τοῖς σπαρτιάταις·
IONATHAS summus sacerdos & senatus gentis
6 Ἰωνάθαν ἀρχιερεὺς καὶ ἡ γερουσία τοῦ ἔθνους,
& sacerdotes & reliquus populus Iudæorum Spartiatis
καὶ οἱ ἱερεῖς καὶ ὁ λοιπὸς δῆμος τῶν ἰουδαίων σπαρτιάταις
fratribus gaudere. Iam pridem missæ fue-
7 τοῖς ἀδελφοῖς χαίρειν. ἔτι πρότερον ἀπεστάλη-
runt epistolæ ad Oniam summum sacerdotem à Da-
σαν ἐπιστολαὶ πρὸς ὀνίαν τὸν ἀρχιερέα παρὰ δα-
rio regnante apud vos, quoniam estis fratres nostri,
ρείου τοῦ βασιλεύοντος ἐν ὑμῖν, ὅτι ἐστὲ ἀδελφοὶ ἡμῶν
vt exemplum subiicit. Et suscepit Onias
8 ὡς τὸ ἀντίγραφον ὑπόκειται. καὶ ἐπεδέξατο ὀνίας
virum missum gloriosè, & accepit
τὸν ἄνδρα τὸν ἀπεσταλμένον ἐνδόξως, καὶ ἔλαβε τὰς
epistolas in quibus significabatur de societate & ami-
ἐπιστολὰς ἐν αἷς διεσαφεῖτο περὶ συμμαχίας καὶ φι-
citia. Et nos igitur non indigentes horum existentes, admo-
9 λίας. καὶ ἡμεῖς οὖν ἀπροσδεεῖς τούτων ὄντες, πα-
nitionem habentes libros sanctos qui in
ράκλησιν ἔχοντες τὰ βιβλία τὰ ἅγια τὰ ἐν ταῖς
manibus nostris: Tentauimus mittere erga
10 χερσὶν ἡμῶν, ἐπειράθημεν ἀποστεῖλαι τὴν πρὸς
vos fraternitatem & amicitiam renouare
ὑμᾶς ἀδελφότητα καὶ φιλίαν ἀνανεώσασθαι πρὸς
ne alieni efficiamur à vobis; multa enim tem-
τὸ μὴ ἐξαλλοτριωθῆναι ὑμῶν· πολλοὶ γὰρ και-
pora transierunt ex quo misistis ad nos. Nos
11 ροὶ διῆλθον ἀφ' οὗ ἀπεστείλατε πρὸς ἡμᾶς. ἡμεῖς
igitur in omni tempore assiduè, inque festis
οὖν ἐν παντὶ καιρῷ ἀδιαλείπτως ἔν τε ταῖς ἑορταῖς
& in reliquis opportunis diebus recordamur ve-
καὶ ταῖς λοιπαῖς καθηκούσαις ἡμέραις μιμνησκόμεθα ὑ-
stri, in his quæ offerimus sacrificiis, & in oratio-
μῶν, ἐφ' ὧν προσφέρομεν θυσιῶν καὶ ἐν ταῖς προσευ-
nibus vt decens est & conueniens recordari fratrum. Læ-
12 χαῖς ὡς δέον ἐστὶ καὶ πρέπον μνημονεύειν ἀδελφῶν. εὐ-
tamur autem de gloria vestra. Nos verò circundederūt
13 φραινόμεθα δὲ ἐπὶ τῇ δόξῃ ὑμῶν. ἡμᾶς δὲ ἐκύκλωσαν
multæ tribulationes & bella multa: & oppugnauerunt
πολλαὶ θλίψεις καὶ πόλεμοι πολλοί· καὶ ἐπολέμησαν

nos reges qui in circuitu nostro. Non volumus
ἡμᾶς οἱ βασιλεῖς οἱ κύκλῳ ἡμῶν. Οὐκ ἠβουλόμεθα 14
ergo molesti esse vobis & reliquis sociis &
οὖν παρενοχλεῖν ὑμῖν καὶ τοῖς λοιποῖς συμμάχοις καὶ
amicis nostris in bellis his. Habemus enim
φίλοις ἡμῶν ἐν τοῖς πολέμοις τούτοις. ἔχομεν γὰρ τὴν 15
ex cælo auxilium adiuuans nos, & liberati sumus de
ἐξ οὐρανοῦ βοήθειαν βοηθοῦσαν ἡμῖν, καὶ ἐρρύσθημεν ἀπὸ τῶν
inimicis nostris. & humiliati sunt inimici nostri. Ele-
ἐχθρῶν ἡμῶν, καὶ ἐταπεινώθησαν οἱ ἐχθροὶ ἡμῶν. ἐπε- 16
gimus igitur Numenium Antiochi, & Antipatrum Iaso-
λεξάμεθα οὖν νουμήνιον ἀντιόχου καὶ ἀντίπατρον ἰάσο-
nis: & misimus ad Romanos ad renouandam
νος καὶ ἀπεστάλκαμεν πρὸς ῥωμαίους ἀνανεώσασθαι τὴν
erga eos amicitiam & societatem priorem.
πρὸς αὐτοὺς φιλίαν καὶ συμμαχίαν τὴν προτέραν.
Mandauimus itaque eis etiam ad vos veni-
ἐνετειλάμεθα οὖν αὐτοῖς καὶ πρὸς ὑμᾶς πορευ- 17
re & salutare vos & reddere vobis
θῆναι καὶ ἀσπάσασθαι ὑμᾶς, καὶ ἀποδοῦναι ὑμῖν τὰς
nostras epistolas de innouatione & fra-
παρ᾽ ἡμῶν ἐπιστολὰς περὶ τῆς ἀνανεώσεως καὶ τῆς ἀδελ-
ternitate nostra. Et nunc bene facietis respon-
φότητος ἡμῶν. καὶ νῦν καλῶς ποιήσετε ἀντιφωνή- 18
dentes nobis ad hæc. Et hoc exemplum
σαντες ἡμῖν πρὸς ταῦτα. καὶ τοῦτο τὸ ἀντίγραφον 19
epistolarum quas miserunt. ONIARES rex
τῶν ἐπιστολῶν ὧν ἀπέστειλαν. Ὀνιάρης βασιλεὺς 20
Spartiatarum Oniæ sacerdoti magno gaudere. Inuentum est in
σπαρτιατῶν ὀνίᾳ ἱερεῖ μεγάλῳ χαίρειν. εὑρέθη ἐν 21
scriptura de Spartis & Iudæis, quòd sunt
γραφῇ περί τε τῶν σπαρτιατῶν καὶ ἰουδαίων, ὅτι εἰσὶν
fratres, & quòd sunt de genere Abraham. Et nunc ex
ἀδελφοί, καὶ ὅτι εἰσὶν ἐκ γένους ἀβραάμ. καὶ νῦν ἀφ᾽ 22
quo cognouimus hæc, bene facietis scribentes nobis
οὗ ἔγνωμεν ταῦτα, καλῶς ποιήσετε γράφοντες ἡμῖν
de pace vestra. Et nos autem rescribimus
περὶ τῆς εἰρήνης ὑμῶν. καὶ ἡμεῖς δὲ ἀντιγράφομεν 23
vobis: iumenta vestra, & substantia vestra nobis
ὑμῖν, τὰ κτήνη ὑμῶν, καὶ ἡ ὕπαρξις ὑμῶν ἡμῖν
sunt, & nostra vobis sunt. Præcipimus igitur vt
ἐστι, καὶ τὰ ἡμῶν ὑμῖν ἐστιν. ἐντελλόμεθα οὖν ὅπως
nuncient vobis iuxta hæc. Et audiuit Iona-
ἀπαγγείλωσιν ὑμῖν κατὰ ταῦτα. καὶ ἤκουσεν ἰωνά- 24
thas quòd reuersi sunt principes Demetrij cum exer-
θαν ὅτι ἐπέστρεψαν οἱ ἄρχοντες δημητρίου μετὰ δυ-
citu multo supra transactum ad pugnandū
νάμεως πολλῆς ὑπὲρ τὸ πρότερον τοῦ πολεμῆσαι
contra eum. Et abiit ex Hierusalem, & occur-
πρὸς αὐτόν. καὶ ἀπῆρεν ἐξ ἱερουσαλήμ, καὶ ἀπήντη- 25
rit eis in Amathite regione, nō enim dedit e-
σεν αὐτοῖς εἰς τὴν ἀμαθῖτιν χώραν, οὐ γὰρ ἔδωκεν αὐ-
is spatium ad intrandum in regionem eius. Et mi-
τοῖς ἀνοχὴν ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτοῦ. καὶ ἀπέ- 26
sit speculatores in castra eius, & re-
στειλε κατασκόπους εἰς τὴν παρεμβολὴν αὐτοῦ, καὶ ἀπέ-
dierunt & nunciauerunt ei, quod sic ordinant irrue-
στρεψαν καὶ ἀπήγγειλαν αὐτῷ, ὅτι οὕτω τάσσονται ἐπιπε-
re in eos nocte. Vt autē occidit Sol, iussit
σεῖν ἐπ᾽ αὐτοὺς τὴν νύκτα. ὡς δὲ ἔδυ ὁ ἥλιος ἐπέταξεν 27
Ionathas suis vigilare & esse in ar-
ἰωνάθαν τοῖς παρ᾽ αὐτοῦ γρηγορεῖν καὶ εἶναι ἐπὶ τοῖς ὅ-
mis, vt parati essent ad pugnam per totam noctem: &
πλοις, ἑτοιμάζεσθαι εἰς πόλεμον δι᾽ ὅλης τῆς νυκτὸς καὶ
posuit custodes in circuitu castrorum. Et
ἐξέβαλε προφύλακας κύκλῳ τῆς παρεμβολῆς. καὶ 28
audierunt aduersarij quòd paratus esset Ionathas & qui
ἤκουσαν οἱ ὑπεναντίοι ὅτι ἡτοίμασται ἰωνάθαν καὶ οἱ
cum eo ad bellum, & timuerunt & formidauerunt
παρ᾽ αὐτοῦ εἰς πόλεμον, καὶ ἐφοβήθησαν καὶ ἔπτηξαν τῇ

in corde suo, & accenderunt pyras in ca-
καρδίᾳ αὐτῶν, καὶ ἀνέκαυσαν πυρὰς ἐν τῇ παρεμβο-
stris suis. Ionathas autē & qui cum eo non cognouerūt vsq;
λῇ αὐτῶν. 29 ἰωνάθαν δὲ καὶ οἱ παρ᾽ αὐτοῦ οὐκ ἔγνωσαν ἕως
ad manè; videbant enim luminaria ardentia. Et perse-
30 πρωΐ, ἔβλεπον γὰρ τὰ φῶτα καιόμενα. καὶ κατε-
cutus est Ionathas post eos, & nō comprehendit eos;
δίωξεν ἰωνάθαν ὀπίσω αὐτῶν, καὶ οὐ κατέλαβεν αὐτούς.
transierunt enim Eleutherum fluuium. Et declinauit
31 διέβησαν γὰρ τὸν ἐλεύθερον ποταμόν. καὶ ἐξέκλινεν
Ionathas ad Arabas vocatos Zaba-
ἰωνάθαν ἐπὶ τοὺς ἄραβας τοὺς καλουμένους ζαβα-
dæos, & percussit eos, & accepit spolia eorum:
δαίους, καὶ ἐπάταξεν αὐτούς, καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν,
Et mouens castra venit in Damascum, & perambulauit omnē
32 καὶ ἀναζεύξας ἦλθεν εἰς δαμασκόν, καὶ διώδευσεν πᾶσαν
regionem. Et Simon exiit & venit vsque ad Asca-
33 τὴν χώραν. καὶ σίμων ἐξῆλθε καὶ διώδευσεν ἕως ἀσκα-
lonem & proximas munitiones; & declinauit in Iop-
λῶνος καὶ τὰ πλησίον ὀχυρώματα, καὶ ἐξέκλινεν εἰς ἰόπ-
pen, & occupauit eam. Audiuit enim quod
34 πην, καὶ προκατελάβετο αὐτήν. ἤκουσε γὰρ ὅτι
volunt munitionem tradere his qui sunt à (patre) Deme-
βούλονται τὸ ὀχύρωμα παραδοῦναι τοῖς παρὰ δημη-
trij & posuit illic custodiam vt custodirent e-
τρίου, καὶ ἔθετο ἐκεῖ φρουρὰν ὅπως φυλάσσωσιν αὐ-
am. Et reuersus est Ionathas, & congregauit
35 τήν. καὶ ἐπέστρεψεν ἰωνάθαν καὶ ἐξεκκλησίασε τοὺς
seniores populi, & cogitauit cum eis
πρεσβυτέρους τοῦ λαοῦ, καὶ ἐβουλεύσατο μετ᾽ αὐτῶν τοῦ
ædificare munitiones in Iudæa, Et exalta-
36 οἰκοδομῆσαι ὀχυρώματα ἐν τῇ ἰουδαίᾳ, καὶ προσυψῶ-
re muros Hierusalem, & exaltare altitudinem magnā
σαι τὰ τείχη ἱερουσαλήμ, καὶ ὑψῶσαι ὕψος μέγα
inter arcem & ciuitatem, ad separandam
ἀναμέσον τῆς ἄκρας καὶ τῆς πόλεως εἰς τὸ διαχωρίζειν
eam à ciuitate, vt esset ipsa singulariter, vt neque
αὐτὴν τῆς πόλεως ἵνα ᾖ αὐτὴ κατὰ μόνας, ὅπως μήτε
emant neque vendant. Et conuenerunt vt
37 ἀγοράζωσι μήτε πωλῶσι. καὶ συνήχθησαν τοῦ
ædificarent ciuitatem: & appropinquauit muro torren-
οἰκοδομεῖν τὴν πόλιν, καὶ ἤγγισε τοῦ τείχους τοῦ χειμάρ-
tis qui à subsolano; & ædificauerunt eum qui vocatur Cha-
ρου τοῦ ἐξ ἀπηλιώτου, καὶ ἐπεσκεύασε τὸ καλούμενον χα-
phenatha. Et Simon ædificauit Adida in Se-
38 φεναθά. καὶ σίμων ᾠκοδόμησε τὴν ἀδιδὰ ἐν τῇ σε-
phela, & muniuit portas & seras. Et quæsiuit
39 φηλᾷ, καὶ ὠχύρωσε θύρας καὶ μοχλούς. καὶ ἐζήτησε
Tryphon regnare Asiæ & apponere sibi diadema,
τρύφων βασιλεῦσαι τῆς ἀσίας καὶ περιθέσθαι τὸ διάδημα
& extendere manum in Antiochum regem. Et
40 καὶ ἐκτεῖναι χεῖρα ἐπὶ ἀντίοχον τὸν βασιλέα. καὶ
timuit ne fortè non sineret eum Ionathas, & ne for-
εὐλαβήθη μήποτε οὐκ ἐάσῃ αὐτὸν ἰωνάθαν, καὶ μή-
tè pugnaret aduersus eum, & quærebat viam ad compre-
ποτε πολεμήσῃ πρὸς αὐτόν, καὶ ἐζήτει πορείαν τοῦ συλ-
hendendum eum vt perderet; & exurgens venit in
λαβεῖν αὐτὸν τοῦ ἀπολέσαι· καὶ ἀπάρας ἦλθεν εἰς
Bethsan. Et exiuit Ionathas in occursum e-
41 βαιθσάν. καὶ ἐξῆλθεν ἰωνάθαν εἰς ἀπάντησιν αὐ-
ius cum quadraginta millibus virorum ele-
τοῦ ἐν τεσσαράκοντα χιλιάσιν ἀνδρῶν ἐπιλελεγ-
ctis in prœlium, & venit in Bethsan. Et
42 μέναις εἰς παράταξιν, καὶ ἦλθεν εἰς βαιθσάν. καὶ
vidit Tryphon quod adest cum exercitu multo, &
εἶδε τρύφων ὅτι πάρεστι μετὰ δυνάμεως πολλῆς, καὶ
extendere manus contra eum timuit. Et susce-
43 ἐκτεῖναι χεῖρας ἐπ᾽ αὐτὸν εὐλαβήθη. καὶ ἐπεδέ-
pit eum gloriosè, & commendauit eum omnibus a-
ξατο αὐτὸν ἐνδόξως, καὶ συνέστησεν αὐτὸν πᾶσι τοῖς φί-

λοις

micis eius, & dedit ei munera, & præcepit ami-
λοις αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ δόματα, καὶ ἐπέταξε τοῖς φί-
cis suis obedire ei sicut ipsi. Et dixit Io-
λοις αὐτοῦ ὑπακούειν αὐτῷ ὡς ἑαυτῷ. καὶ εἶπεν τῷ ἰω- 44
nathæ, Vt quid vexasti vniuersum populum hunc cùm bellū
νάθαν, ἵνα τί ἔκοψας πάντα τὸν λαὸν τοῦτον πολέμου
non sit nobis? Et nunc remitte eos in
μὴ ἐνεστηκότος ἡμῖν; καὶ νῦν ἀπόστειλον αὐτοὺς εἰς 45
domos suas: elige autem tibi viros paucos
τοὺς οἴκους αὐτῶν, ἐπίλεξαι δὲ σεαυτῷ ἄνδρας ὀλίγους
qui erunt tecum & veni mecum in Pto-
οἵτινες ἔσονται μετὰ σοῦ, καὶ δεῦρο μετ' ἐμοῦ εἰς πτο-
lemaidem, & tradam tibi eam & reliquas muni-
λεμαΐδα, καὶ παραδώσω σοι αὐτὴν καὶ τὰ λοιπὰ ὀχυ-
tiones & exercitus reliquos & vniuersos
ρώματα καὶ τὰς δυνάμεις τὰς λοιπὰς καὶ πάντας τοὺς
præpositos negotiorum: Et conuersus abibo, hu-
ἐπὶ τῶν χρειῶν· καὶ ἐπιστρέψας ἀπελεύσομαι, τού-
ius enim gratia adsum. Et credens ei fe-
του γὰρ χάριν πάρειμι. καὶ ἐμπιστεύσας αὐτῷ ἐποίη- 46
cit sicut dixit, & misit exercitus, & abie-
σε καθὼς εἶπε, καὶ ἐξαπέστειλε τὰς δυνάμεις, καὶ ἀπῆλ-
runt in terram Iuda, Reliquit autem secum viros tres
θον εἰς γῆν ἰούδα. κατέλιπε δὲ μεθ' ἑαυτοῦ ἄνδρας τρισ- 47
mille, quorum duo mille dimisit in Galilæa, mille
χιλίους, ὧν δισχιλίους ἀφῆκεν ἐν τῇ γαλιλαίᾳ, χίλιοι
autem venerunt cum eo. Vt autem intrauit Ionathas in Pto-
δὲ συνῆλθον αὐτῷ. ὡς δὲ εἰσῆλθεν ἰωνάθαν εἰς πτο- 48
lemaidem, clauserunt Ptolemenses portas, &
λεμαΐδα, ἀπέκλεισαν οἱ πτολεμαεῖς τὰς πύλας, καὶ
comprehenderunt eum, & omnes ingressos cum eo
συνέλαβον αὐτὸν, καὶ πάντας τοὺς εἰσελθόντας μετ' αὐ-
interfecerunt in gladio. Et misit Tryphon
τοῦ ἀπέκτειναν ἐν ῥομφαίᾳ. καὶ ἀπέστειλε τρύφων 49
exercitus & equitatum in terram Galilæam & campum
δυνάμεις καὶ ἵππον εἰς γῆν γαλιλαίαν καὶ τὸ πεδίον τὸ
magnum, vt perderent omnes qui à (patre) Ionathæ. Et
μέγα, τοῦ ἀπολέσαι πάντας τοὺς παρὰ ἰωνάθου. καὶ 50
cognouerunt quòd comprehensus & periit, & qui cum
ἐπέγνωσαν ὅτι συνελήφθη καὶ ἀπόλωλεν καὶ οἱ μετ' αὐ-
eo. & hortati sunt seipsos, & iuerunt conuer-
τοῦ, καὶ παρεκάλεσαν ἑαυτοὺς, καὶ ἐπορεύοντο συνεστραμ-
si parati ad prœlium. Et viderunt qui insequebātur quòd
μένοι ἕτοιμοι εἰς πόλεμον. καὶ εἶδον οἱ διώκοντες ὅτι 51
de anima eis est. Et reuersi sunt & venerunt omnes
περὶ ψυχῆς αὐτοῖς ἐστί. καὶ ἐπέστρεψαν καὶ ἦλθον πάντες 52
in terram Iuda, & luxerunt Ionathan & eos qui cum
εἰς γῆν ἰούδα, καὶ ἐπένθησαν τὸν ἰωνάθαν καὶ τοὺς μετ'
eo, & timuerunt valde; & luxerunt omnis Israel
αὐτοῦ, καὶ ἐφοβήθησαν σφόδρα, καὶ ἐπένθησε πᾶς ἰσραὴλ
luctum magnum. Et quæsierunt omnes gentes quæ in circuitu
πένθος μέγα. καὶ ἐζήτησαν πάντα τὰ ἔθνη τὰ κύκλῳ 53
eorum conterere eos: dixerunt enim: Non habent prin-
αὐτῶν ἐκτρῖψαι αὐτούς· εἶπον γάρ· οὐκ ἔχουσιν ἄρ- 54
cipem & adiuuantem. nunc igitur oppugnabimus e-
χοντα καὶ βοηθοῦντα. νῦν οὖν πολεμήσομεν αὐ-
os, & delebimus de hominibus memoriam
τοὺς, καὶ ἐξαροῦμεν ἐξ ἀνθρώπων τὸ μνημόσυνον
eorum.
αὐτῶν.

CAP. XIII.

Et audiuit Simon quòd congregauit Tryphon exercitum
Καὶ ἤκουσε σίμων ὅτι συνήγαγε τρύφων δύναμιν 1
multum, vt veniret in terram Iuda & attereret eam.
πολλὴν τοῦ ἐλθεῖν εἰς γῆν ἰούδα καὶ ἐκτρῖψαι αὐτήν.
Et vidit populum quòd est tremens & formidans, & ascen-
καὶ εἶδε τὸν λαὸν ὅτι ἐστὶν ἔντρομος καὶ ἔκφοβος, καὶ ἀνέ- 2
dit in Hierusalem, & congregauit populum. Et adhor-
βη εἰς ἱερουσαλὴμ, καὶ ἤθροισε τὸν λαόν· καὶ παρε- 3
tatus est eos, & dixit eis: Ipsi scitis quanta ego
κάλεσεν αὐτοὺς καὶ εἶπεν αὐτοῖς, αὐτοὶ οἴδατε ὅσα ἐγὼ
& fratres mei & domus patris mei fecimus
καὶ οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πατρός μου ἐποιήσαμεν
pro legibus & sanctis, & prœlia &
περὶ τῶν νόμων καὶ τῶν ἁγίων, καὶ τοὺς πολέμους καὶ τὰς
angustias quas vidimus. Huius gratia perierunt
4 στενοχωρίας ἃς εἴδομεν. τούτου χάριν ἀπώλοντο οἱ
fratres mei omnes propter Israel, & relictus
ἀδελφοί μου πάντες χάριν τοῦ ἰσραὴλ, καὶ κατελείφ-
sum ego solus. Et nunc non mihi fiat parcere meæ
5 θην ἐγὼ μόνος. καὶ νῦν μή μοι γένοιτο φείσασθαί μου
animæ in omni tempore tribulationis, non enim sum me-
τῆς ψυχῆς ἐν παντὶ καιρῷ θλίψεως, οὐ γάρ εἰμι κρείσ-
lior fratribus meis. Verùm vindicabo pro gen-
6 σων τῶν ἀδελφῶν μου. πλὴν ἐκδικήσω περὶ τοῦ ἔθ-
te mea, & pro sanctis, & pro vxoribus, &
νους μου καὶ περὶ τῶν ἁγίων καὶ περὶ τῶν γυναικῶν καὶ τῶν
filiis vestris, quia congregatæ sunt omnes gentes con-
τέκνων ὑμῶν, ὅτι συνήχθησαν πάντα τὰ ἔθνη ἐκ-
terere nos inimicitiæ gratia. Et accensus est spiri-
7 τρῖψαι ἡμᾶς ἔχθρας χάριν. καὶ ἀνεζωπύρησε τὸ πνεῦ-
tus populi simul vt audiuit sermones hos, & re-
μα τοῦ λαοῦ ἅμα τοῦ ἀκοῦσαι τῶν λόγων τούτων, καὶ ἀπε-
sponderunt voce magna, dicentes: Tu es noster dux
8 κρίθησαν φωνῇ μεγάλῃ λέγοντες· σὺ εἶ ἡμῶν ἡγού-
pro Iuda & Ionatha fratribus tuis. Pu-
9 μενος ἀντὶ ἰούδου καὶ ἰωνάθου τῶν ἀδελφῶν σου. πολέ-
gna prælium nostrum, & omnia quæcunque dixeris nobis
μησον τὸν πόλεμον ἡμῶν, καὶ πάντα ὅσα ἂν εἴπῃς ἡμῖν
faciemus. Et congregauit omnes viros
10 ποιήσομεν. καὶ συνήγαγε πάντας τοὺς ἄνδρας τοὺς
bellatores, & accelerauit consummare muros Hieru-
πολεμιστὰς, καὶ ἐτάχυνε τοῦ τελέσαι τὰ τείχη ἱερου-
salem, & muniuit eam circumcirca. Et mi-
11 σαλὴμ, καὶ ὠχύρωσεν αὐτὴν κυκλόθεν. καὶ ἀπέ-
sit Ionathan (filium) Absalomi & cum eo exer-
στειλεν ἰωνάθαν τὸν τοῦ ἀψαλώμου καὶ μετ' αὐτοῦ δύ-
citum sufficientem in Ioppen: & eiecit eos qui erant in ea,
ναμιν ἱκανὴν εἰς ἰόππην, καὶ ἐξέβαλε τοὺς ὄντας ἐν αὐτῇ,
& mansit illic in ea. Et profectus est Tryphon de
12 καὶ ἔμεινεν ἐκεῖ ἐν αὐτῇ. καὶ ἀπῆρε τρύφων ἀπὸ
Ptolemaide cum exercitu multo vt intraret in
πτολεμαΐδος μετὰ δυνάμεως πολλῆς εἰσελθεῖν εἰς
terram Iuda, & Ionathas cum eo in custodia. Si-
13 γῆν ἰούδα, καὶ ἰωνάθαν μετ' αὐτοῦ ἐν φυλακῇ. σί-
mon autem castrametatus est in Adidis contra faciem cam-
μων δὲ παρενέβαλεν ἐν ἀδίδοις κατὰ πρόσωπον τοῦ πε-
pi. Et cognouit Tryphon quòd surrexit Simon pro Io-
14 δίου. καὶ ἐπέγνω τρύφων ὅτι ἀνέστη σίμων ἀντὶ ἰω-
natha fratre suo, & quòd committere cum eo futurus es-
νάθου τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ὅτι συνάπτειν αὐτῷ μέλ-
set prœlium, & misit ad eum legatos, di-
λει πόλεμον, καὶ ἀπέστειλε πρὸς αὐτὸν πρέσβεις, λέ-
cens: Pro argento quod debebat Ionathas fra-
15 γων· περὶ τοῦ ἀργυρίου οὗ ὤφειλεν ἰωνάθαν ὁ ἀδελ-
ter tuus in ratione regis propter quæ habuit negotia, detinuimus
φός σου εἰς τὸ βασιλικὸν δι' ἃς εἶχε χρείας συνέχομεν
Et nunc mitte argenti talenta centum,
16 αὐτόν. καὶ νῦν ἀπόστειλον ἀργυρίου τάλαντα ἑκατὸν
& duos ex filiis eius obsides, vt non dimissus rece-
καὶ δύο τῶν υἱῶν αὐτοῦ ὅμηρα, ὅπως μὴ ἀφεθεὶς ἀπο-
dat à nobis, & dimittemus eum. Et cognouit Si-
17 στῇ ἀφ' ἡμῶν, καὶ ἀφήσομεν αὐτόν. καὶ ἔγνω σί-
mon quòd dolo loquuntur ad eum, & mittit ar-
μων ὅτι δόλῳ λαλοῦσι πρὸς αὐτὸν, καὶ πέμπει τὸ ἀρ-
gentum, & duos pueros, & ne inimicitiam
γύριον, καὶ τὰ δύο παιδάρια, μήποτε ἔχθραν
sameret magnam ad populum dicentes: Quod non
18 ἄρῃ μεγάλην πρὸς τὸν λαὸν λέγοντες, ὅτι οὐκ

misit ei argentum. & pueros &
ἀπέστειλε αὐτῷ τὸ ἀργύριον, καὶ τὰ παιδάρια, καὶ
periit. Et misit pueros &
ἀπώλετο. καὶ ἀπέστειλε τὰ παιδάρια καὶ τὰ 19
centum talenta: & mentitus est, & non dimisit
ἑκατὸν τάλαντα, καὶ διεψεύσατο, καὶ οὐκ ἀφῆκε τὸν
Ionathan. Et post hæc venit Tryphon vt ascen-
ἰωνάθαν. καὶ μετὰ ταῦτα ἦλθε τρύφων τοῦ ἐμβα- 20
deret in regionem, & contereret eam, &
τεῦσαι εἰς τὴν χώραν, καὶ ἐκτρίψαι αὐτήν, καὶ
circumdedit viam quæ in Adora. Et Simon & ca-
ἐκύκλωσεν ὁδὸν τὴν εἰς ἄδωρα. καὶ σίμων καὶ ἡ πα-
stra eius contra veniebant ei in omnem locum quo-
ρεμβολὴ αὐτοῦ ἀντιπαρῆγεν αὐτῷ εἰς πάντα τόπον οὗ
cunque ibat. Atqui in arce, mittebant ad
ἂν ἐπορεύετο. Οἱ δὲ ἐκ τῆς ἄκρας ἀπέστελλον πρὸς 21
Tryphonem legatos, & qui vrgerent eum vt
τρύφωνα πρεσβευτάς, καὶ κατασπεύδοντας αὐτὸν τοῦ
veniret ad se per desertum, & mitteret eis
ἐλθεῖν πρὸς αὐτοὺς διὰ τῆς ἐρήμου, καὶ ἀποστεῖλαι αὐτοῖς
alimonias. Et parauit Tryphon omnem æquitatū suum
τροφάς. καὶ ἡτοίμασε τρύφων πᾶσαν τὴν ἵππον αὐτοῦ 22
vt veniret: & in nocte illa fuit nix multa valde,
ἐλθεῖν, καὶ ἐν τῇ νυκτὶ ἐκείνῃ ἦν χιὼν πολλὴ σφόδρα,
& non venit propter niuem: & abiit & venit in
καὶ οὐκ ἦλθε διὰ τὴν χιόνα· καὶ ἀπῆρε καὶ ἦλθεν εἰς τὴν
Galaaditim. Vt autem appropinquauit Bascama, occidit
γαλααδῖτιν. ὡς δὲ ἤγγισε τῇ βασκαμᾷ, ἀπέκτεινε 23
Ionathan, & sepultus est illic. Et rediit Tryphon, &
τὸν ἰωνάθαν, καὶ ἐτάφη ἐκεῖ. καὶ ἐπέστρεψε τρύφων καὶ 24
abiit in terram suam. Et misit Simon, &
ἀπῆρεν εἰς τὴν γῆν αὐτοῦ. καὶ ἀπέστειλε σίμων, καὶ 25
accepit ossa Ionathæ fratris sui, & sepelierunt
ἔλαβε τὰ ὀστᾶ ἰωνάθαν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἔθαψαν
eum in Modin ciuitate patrum eius. Et planxerunt
αὐτὸν ἐν μωδεῒν πόλει τῶν πατέρων αὐτοῦ. καὶ ἐκόψαντο 26
eum omnis Israel planctu magno, & luxerunt eum
αὐτὸν πᾶς ἰσραὴλ κοπετὸν μέγαν, καὶ ἐπένθησαν αὐτὸν
dies multos. Et ædificauit Simon super sepulchrum
ἡμέρας πολλάς. καὶ ᾠκοδόμησε σίμων ἐπὶ τὸν τάφον 27
patris sui & fratrum suorum, & exaltauit illud
τοῦ πατρὸς αὐτοῦ καὶ τῶν ἀδελφῶν αὐτοῦ, καὶ ὕψωσεν αὐτὸν
visu lapide polito à posterioribus & anterioribus.
τῇ ὁράσει λίθῳ ξεστῷ ἐκ τῶν ὄπισθεν καὶ ἔμπροσθεν.
Et statuit super ea septem pyramidas, vnam con-
καὶ ἔστησεν ἐπ' αὐτὰ ἑπτὰ πυραμίδας, μίαν κα- 28
tra vnam patri & matri & qua-
τέναντι τῆς μιᾶς τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς τέσσαρ-
tuor fratribus. Et his fecit machinamenta
σιν ἀδελφοῖς. καὶ ταύταις ἐποίησε μηχανήματα 29
circumponens columnas magnas. & fecit super
περιθεὶς στύλους μεγάλους, καὶ ἐποίησεν ἐπὶ τοῖς
columnas arma in nomen æternum & apud
στύλοις πανοπλίας εἰς ὄνομα αἰώνιον, καὶ παρὰ
arma nauigia sculpta, vt
ταῖς πανοπλίαις πλοῖα ἐπιγεγλυμμένα εἰς τὸ
videretur ab omnibus nauigantibus per
θεωρεῖσθαι ὑπὸ πάντων τῶν πλεόντων τὴν θά-
mare. Hoc sepulchrum quod fecit in Modin vsque ad
λασσαν. οὗτος ὁ τάφος ὃν ἐποίησεν ἐν μωδεῒν ἕως 30
diem hunc. At Tryphon ibat frau-
τῆς ἡμέρας ταύτης. ὁ δὲ τρύφων ἐπορεύετο δό- 31
de cum Antiocho rege adolescente, &
λῳ μετὰ ἀντιόχου τοῦ βασιλέως τοῦ νεωτέρου, καὶ
occidit eum. Et regnauit pro eo,
ἀπέκτεινεν αὐτόν· καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ, 32
& circumposuit sibi diadema Asiæ, & fecit
καὶ περιέθετο τὸ διάδημα τῆς ἀσίας καὶ ἐποίησε
plagam magnam in terra. Et ædificauit Simon
πληγὴν μεγάλην ἐπὶ τῆς γῆς. καὶ ᾠκοδόμησε σίμων 33

munitiones Iudææ, & muniuit turribus
τὰ ὀχυρώματα τῆς ἰουδαίας, καὶ περιετείχισε πύργοις
excelsis & muris magnis & turribus & portis &
ὑψηλοῖς καὶ τείχεσι μεγάλοις καὶ πύργοις καὶ πύλαις καὶ
seris, & posuit alimenta in munitionibus. Et
34 μοχλοῖς, καὶ ἔθετο βρώματα ἐν τοῖς ὀχυρώμασι. καὶ
elegit Simon viros, & misit ad Demetrium
ἐπέλεξε σίμων ἄνδρας, καὶ ἀπέστειλε πρὸς δημήτριον
regem, vt faceret remissionem regioni; quoniam omnes
τὸν βασιλέα τοῦ ποιῆσαι ἄφεσιν τῇ χώρᾳ, ὅτι πᾶσαι
actus Tryphonis erant rapinæ. Et misit
35 αἱ πράξεις τρύφωνος ἦσαν ἁρπαγαί. καὶ ἀπέστειλεν
ei Demetrius rex iuxta sermones hos: &
αὐτῷ δημήτριος ὁ βασιλεὺς κατὰ τοὺς λόγους τούτους· καὶ
respondit ei, & scripsit ei epistolam ta-
ἀπεκρίθη αὐτῷ, καὶ ἔγραψεν αὐτῷ ἐπιστολὴν τοιαύ-
lem. Rex Demetrius Simoni, principi sacerdotū & amico
36 την. Βασιλεὺς δημήτριος σίμωνι ἀρχιερεῖ καὶ φίλῳ
regum, & senioribus & genti Iudæorum gaudere.
βασιλέων καὶ πρεσβυτέροις καὶ ἔθνει ἰουδαίων χαίρειν.
Coronam auream & bainem quæ misistis
37 Τὸν στέφανον τὸν χρυσοῦν καὶ τὴν βαΐνην ἣν ἀπεστείλατε
accepimus: & parati sumus facere vobiscum pacem
κεκομίσμεθα· καὶ ἕτοιμοί ἐσμεν τοῦ ποιεῖν ὑμῖν εἰρήνην
magnam, & scribere iis qui super negotia vt remittant
μεγάλην, καὶ γράφειν τοῖς ἐπὶ τῶν χρειῶν τοῦ ἀφιέναι
vobis remissiones. Et quæ statuimus erga vos
38 ὑμῖν ἀφέματα. καὶ ὅσα ἐστήκαμεν πρὸς ὑμᾶς
constant, & munitiones quas ædificauistis sint
ἔστηκε, καὶ τὰ ὀχυρώματα ἃ ᾠκοδομήκατε ὑπαρχέτω
vobis. Remittimus autem ignorantias & peccata
39 ὑμῖν. ἀφίεμεν δὲ ἀγνοήματα καὶ τὰ ἁμαρτήματα
vsque in hodiernum diem, & coronam quam debebatis; &
ἕως τῆς σήμερον ἡμέρας, καὶ τὸν στέφανον ὃν ὠφείλετε, καὶ
si quid aliud tributarium erat in Hierusalem, non amplius sit tri-
εἴ τι ἄλλο ἐτελωνεῖτο ἐν ἱερουσαλήμ, μηκέτι τε-
butarium. Et si qui apti ex vobis conscribi
40 λωνείσθω. καὶ εἴ τινες ἐπιτήδειοι ὑμῶν γραφῆναι
inter eos qui circa nos, conscribantur, & sit in-
εἰς τοὺς περὶ ἡμᾶς, ἐγγραφέσθωσαν, καὶ γινέσθω ἀνὰ-
ter nos pax. Anno septuagesimo & centesimo abla-
41 μέσον ἡμῶν εἰρήνη. ἔτους ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἤρ-
tum est iugum gentium ab Israel. Et cœpit populus
42 θη ὁ ζυγὸς τῶν ἐθνῶν ἀπὸ τοῦ ἰσραήλ. καὶ ἤρξατο ὁ λαὸς
Israel scribere in conscriptionibus & commutationi-
ἰσραὴλ γράφειν ἐν ταῖς συγγραφαῖς καὶ συναλλάγμα-
bus anno primo sub Simone principe sacerdotum magno,
σιν ἔτους πρώτου ἐπὶ σίμωνος ἀρχιερέως μεγάλου
& duce, & principe Iudæorum. In diebus
43 καὶ στρατηγοῦ καὶ ἡγουμένου ἰουδαίων. ἐν ταῖς ἡμέραις
illis castrametatus est ad Gazam, & circundedit
ἐκείναις παρενέβαλεν ἐπὶ γάζαν, καὶ ἐκύκλωσεν
eam castris, & fecit machinam, & ap-
αὐτὴν παρεμβολαῖς, καὶ ἐποίησεν ἐλέπολιν, καὶ προσ-
plicuit ad ciuitatem & percussit turrem vnam, & compre-
ήγαγε τῇ πόλει, καὶ ἐπάταξε πύργον ἕνα, καὶ κατε-
hendit. Et eruperunt qui in machina in
44 λάβετο. καὶ ἐξήλλοντο οἱ ἐν τῇ ἐλεπόλει εἰς τὴν
vrbem, & factus est motus magnus in ciuitate. Et
45 πόλιν, καὶ ἐγένετο κίνημα μέγα ἐν τῇ πόλει. καὶ
ascenderunt qui in ciuitate cum vxoribus & fi-
ἀνέβησαν οἱ ἐν τῇ πόλει σὺν ταῖς γυναιξὶ καὶ τοῖς τέκ-
liis supra murum scissis tunicis suis &
νοις ἐπὶ τὸ τεῖχος διερρηχότες τὰ ἱμάτια αὐτῶν, καὶ
clamauerunt voce magna postulantes Simonem dextras e-
ἐβόησαν φωνῇ μεγάλῃ ἀξιοῦντες σίμωνα δεξιὰς αὐ-
is dare, & dixerunt. Non nobis vtaris secundum mali-
46 τοῖς δοῦναι, καὶ εἶπον· μὴ ἡμῖν χρήσῃ κατὰ τὰς πονη-
tias nostras, sed secundum misericordiā tuā. Et flexus est eis
47 ρίας ἡμῶν, ἀλλὰ κατὰ τὸ ἔλεός σου. καὶ συνευδοκήθη αὐτοῖς
σίμων,

Simon, & non debellauit eos: & eiecit eos
σίμων, καὶ οὐκ ἐπολέμησεν αὐτοὺς καὶ ἐξέβαλεν αὐτοὺς
de ciuitate, & emundauit ædes in quibus fuerāt
ἐκ τῆς πόλεως, καὶ ἐκαθάρισε τὰς οἰκίας ἐν αἷς ἦν
simulachra, & sic intrauit in eam, laudans & be-
τὰ εἴδωλα, καὶ οὕτως εἰσῆλθεν εἰς αὐτὴν ὑμνῶν καὶ εὐ-
nedicens. Et eiecit ex ea omnem immunditiam,
λογῶν. καὶ ἐξέβαλεν ἐξ αὐτῆς πᾶσαν ἀκαθαρσίαν, 48
& collocauit illic viros qui legem faciunt:
καὶ κατῴκισεν ἐκεῖ ἄνδρας οἵτινες τὸν νόμον ποιοῦσι·
& muniuit eam. & ædificauit sibi in i-
καὶ προσωχύρωσεν αὐτὴν καὶ ᾠκοδόμησεν ἑαυτῷ ἐν αὐ-
psa habitationem. Qui autē erāt in arce in Hierusalem, prohi-
τῇ οἴκησιν. Οἱ δὲ ἐκ τῆς ἄκρας ἐν ἱερουσαλὴμ ἐκω- 49
bebantur egredi in regionem, & emere &
λύοντο ἐκπορεύεσθαι εἰς τὴν χώραν, καὶ ἀγοράζειν καὶ
vendere: & esurierunt valde, & perierunt ex illis
πωλεῖν, καὶ ἐπείνασαν σφόδρα, καὶ ἀπώλοντο ἐξ αὐτῶν
multi fame. Et clamauerūt ad Simonem dextras accipere,
ἱκανοὶ τῷ λιμῷ. καὶ ἐβόησαν πρὸς σίμωνα δεξιὰς λαβεῖν, 50
& dedit eis. & eiecit eos illinc, & munda-
καὶ ἔδωκεν αὐτοῖς, καὶ ἐξέβαλεν αὐτοὺς ἐκεῖθεν, καὶ ἐκαθά-
uit arcem à contaminationibus. Et intrauit in
ρισε τὴν ἄκραν ἀπὸ τῶν μιασμάτων. καὶ εἰσῆλθεν εἰς 51
eam tertia & vicesima secundi mensis anno
αὐτὴν τῇ τρίτῃ καὶ εἰκάδι τοῦ δευτέρου μηνὸς ἔτους
vno & septuagesimo & centesimo cum laude & ra-
ἑνὸς καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ μετὰ αἰνέσεως καὶ βαΐ-
mis, & in cinyris & in cymbalis & in nablis, & in
ων καὶ ἐν κινύραις καὶ ἐν κυμβάλοις καὶ ἐν νάβλαις καὶ ἐν
hymnis, & in canticis; quia contritus est inimicus magnus ex
ὕμνοις καὶ ἐν ᾠδαῖς, ὅτι συνετρίβη ἐχθρὸς μέγας ἐξ
Israel. Et constituit singulis vt agerent diem
ἰσραήλ. καὶ ἔστησε κατ' ἐνιαυτὸν τοῦ ἄγειν τὴν ἡμέραν 52
hanc cum lætitia. Et muniuit montē
ταύτην μετ' εὐφροσύνης. καὶ προσωχύρωσε τὸ ὄρος 53
templi quod prope arcem, & habitabat illic ipse &
τοῦ ἱεροῦ τὸ παρὰ τὴν ἄκραν, καὶ ᾤκει ἐκεῖ αὐτὸς καὶ
qui cum eo. Et vidit Simon Ioannem filium suum,
οἱ παρ' αὐτοῦ. καὶ εἶδε σίμων ἰωάννην τὸν υἱὸν αὐτοῦ, 54
quòd vir est, & posuit eum ducem virtutum
ὅτι ἀνήρ ἐστι, καὶ ἔθετο αὐτὸν ἡγούμενον τῶν δυνάμεων
vniuersarū & habitabat in Gazaris.
πασῶν, καὶ ᾤκει ἐν γαζάροις.

CAP. XIIII. ιδ'.

Et in anno secundo & septuagesimo & cente-
Καὶ ἐν ἔτει δευτέρῳ καὶ ἑβδομηκοστῷ καὶ ἑκα-
simo congregauit Demetrius rex exer-
τοστῷ συνήγαγε δημήτριος ὁ βασιλεὺς τὰς δυνά-
citus suos, & abiit in Mediam ad contrahendum
μεις αὐτοῦ, καὶ ἐπορεύθη εἰς μηδείαν τοῦ ἐπισπάσασθαι
auxilium sibi, vt expugnaret Tryphonem. Et
βοήθειαν αὐτῷ, ὅπως πολεμήσῃ τὸν τρύφωνα. καὶ 2
audiuit Arsaces rex Persiæ & Me-
ἤκουσεν ἀρσάκης ὁ βασιλεὺς τῆς περσίδος καὶ μη-
diæ quòd venit Demetrius in fines suos, & mi-
δείας ὅτι ἦλθε δημήτριος εἰς τὰ ὅρια αὐτοῦ, καὶ ἀπέ-
sit vnum principum suorum vt comprehenderet eum vi-
στειλεν ἕνα τῶν ἀρχόντων αὐτοῦ συλλαβεῖν αὐτὸν ζῶν-
uum. Et abiit & percussit castra
τα. καὶ ἐπορεύθη καὶ ἐπάταξε τὴν παρεμβολὴν 3
Demetrij. & comprehendit eum, & duxit eum
δημητρίου, καὶ συνέλαβεν αὐτὸν καὶ ἤγαγεν αὐτὸν
ad Arsacem, & posuit eum in custodia. Et
πρὸς ἀρσάκην, καὶ ἔθετο αὐτὸν ἐν φυλακῇ. καὶ ἡ- 4
siluit terra omnibus diebus Simonis, & quæsi-
σύχασεν ἡ γῆ πάσας τὰς ἡμέρας σίμωνος, καὶ ἐζήτη-
uit bona genti suæ, & placuit illis potestas
σεν ἀγαθὰ τῷ ἔθνει αὐτοῦ, καὶ ἤρεσεν αὐτοῖς ἡ ἐξουσία

eius & gloria eius omnibus diebus. Et cum
5 αὐτοῦ καὶ ἡ δόξα αὐτοῦ πάσας τὰς ἡμέρας. καὶ μετὰ
omni gloria sua accepit Ioppen in portum,
πάσης τῆς δόξης αὐτοῦ ἔλαβε τὴν ἰόππην εἰς λιμένα,
& fecit introitum in insulis maris. Et di-
6 καὶ ἐποίησεν εἴσοδον ταῖς νήσοις τῆς θαλάσσης. καὶ ἐ-
latauit fines genti suæ & obtinuit
πλάτυνε τὰ ὅρια τῷ ἔθνει αὐτοῦ καὶ ἐκράτησε τῆς
regionem. Et congregauit captiuitatem multam &
7 χώρας. καὶ συνήγαγεν αἰχμαλωσίαν πολλήν, καὶ
dominatus est Gazaræ & Bethsuræ & arcis:
ἐκυρίευσε γαζάρων καὶ βαιθσούρων καὶ τῆς ἄκρας·
& abstulit immunditias ex ea, & non erat
καὶ ἐξῆρε τὰς ἀκαθαρσίας ἐξ αὐτῆς, καὶ οὐκ ἦν ὁ
resistens ei. Et erant colentes terram
8 ἀντικείμενος αὐτῷ. καὶ ἦσαν γεωργοῦντες τὴν γῆν
suam cum pace, & terra autē dabat fructus
αὐτῶν μετ' εἰρήνης, καὶ ἡ γῆ δὲ ἐδίδου τὰ γεννήματα
suos & ligna camporum fructum suum.
αὐτῆς καὶ τὰ ξύλα τῶν πεδίων τὸν καρπὸν αὐτῶν.
Seniores in plateis sedebant;
9 πρεσβύτεροι ἐν ταῖς πλατείαις ἐκάθηντο.
omnes de bonis consultabant in communi, & iuuenes
πάντες περὶ ἀγαθῶν ἐκοινολογοῦντο, καὶ οἱ νεανίσκοι
induerunt glorias & stolas belli. Ciuitatibus
10 ἐνεδύσαντο δόξας καὶ στολὰς πολέμου. ταῖς πόλεσιν
tribuebat alimonias, & constituit eas in vasis
ἐχορήγησε βρώματα, καὶ ἔταξεν αὐτὰς ἐν σκεύεσιν
munitionis, vsquequo nominatum est nomen gloriæ
ὀχυρώσεως ἕως ὅπου ὠνομάσθη τὸ ὄνομα τῆς δόξης
eius vsque ad extremū terræ: Fecit pacem super
11 αὐτοῦ ἕως ἄκρου τῆς γῆς· ἐποίησε τὴν εἰρήνην ἐπὶ τῆς
terrā, & lætatus est Israel lætitia magna.
γῆς, καὶ εὐφράνθη ἰσραὴλ εὐφροσύνην μεγάλην.
Et sedit vnusquisque sub vite sua &
12 καὶ ἐκάθισεν ἕκαστος ὑπὸ τὴν ἄμπελον αὐτοῦ καὶ
ficu sua, & non erat exterrens eos. Et
13 τὴν συκῆν αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν αὐτούς. καὶ
defecit impugnans eos super terram: & reges
ἐξέλιπε πολεμῶν αὐτοὺς ἐπὶ τῆς γῆς, καὶ οἱ βασιλεῖς
contriti sunt in diebus illis. Et confir-
14 συνετρίβησαν ἐν ταῖς ἡμέραις ἐκείναις. καὶ ἐστή-
mauit omnes humiles populi sui. legem
ριξε πάντας τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ. τὸν νόμον
exquisiuit, & abstulit omnem iniquum & malum.
ἐξεζήτησε, καὶ ἐξῆρε πάντα ἄνομον καὶ πονηρόν.
Sancta glorificauit, & multiplicauit vasa san-
15 τὰ ἅγια ἐδόξασε, καὶ ἐπλήθυνε τὰ σκεύη τῶν ἁ-
ctorum. Et audierunt in Roma, quòd defunctus esset Iona-
16 γίων. καὶ ἤκουσαν ἐν ῥώμῃ, ὅτι ἀπέθανεν ἰωνά-
thas, & vsque in Spartam, & tristati sunt valde.
θαν καὶ ἕως σπάρτης, καὶ ἐλυπήθησαν σφόδρα.
Vt autem audierunt quòd Simon frater eius factus est
17 ὡς δὲ ἤκουσαν ὅτι σίμων ὁ ἀδελφὸς αὐτοῦ γέγονεν
pro illo summus sacerdos, & obtinet regionem &
ἀντ' αὐτοῦ ἀρχιερεύς, καὶ ἐπικρατεῖ τῆς χώρας καὶ τῶν
ciuitates quæ in ea; Scripserunt ad eum, tabu-
18 πόλεων τῶν ἐν αὐτῇ, ἔγραψαν πρὸς αὐτὸν δέλ-
lis aureis vt renouarent erga eum amicitiam
τοις χαλκαῖς τοῦ ἀνανεώσασθαι πρὸς αὐτὸν φιλίαν
& societatem quam constituerunt cum Iuda & Iona-
καὶ τὴν συμμαχίαν ἣν ἔστησαν πρὸς ἰούδαν καὶ ἰωνά-
tha fratribus eius. Et lectæ sunt coram
19 θαν τοὺς ἀδελφοὺς αὐτοῦ. καὶ ἀνεγνώσθησαν ἐνώπιον τῆς
ecclesia in Hierusalem. Et hoc exem-
20 ἐκκλησίας ἐν ἱερουσαλήμ. καὶ τοῦτο τὸ ἀντίγρα-
plum epistolarum quas miserunt Spartiatæ:
φον τῶν ἐπιστολῶν ὧν ἀπέστειλαν οἱ σπαρτιᾶται.
SPARTIATARVM principes & ciuitas, Simoni sacerdoti
Σπαρτιατῶν ἄρχοντες καὶ ἡ πόλις, σίμωνι ἱερεῖ

magno, & senioribus & sacerdotibus, & re-
μεγάλῳ, καὶ τοῖς πρεσβυτέροις καὶ τοῖς ἱερεῦσι, καὶ τῷ λοι-
liquo populo Iudæorum fratribus gaudere. Lega-
πῷ δήμῳ τῶν ἰουδαίων ἀδελφοῖς χαίρειν. 21 οἱ πρεσ-
ti missi ad populum nostrum nun-
βευταὶ οἱ ἀποσταλέντες πρὸς τὸν δῆμον ἡμῶν, ἀπήγ-
tiauerunt nobis de gloria vestra, & honore, & gauisi su-
γειλαν ἡμῖν περὶ τῆς δόξης ὑμῶν καὶ τιμῆς, καὶ εὐφράνθη-
mus, in introitu eorum. Et rescripsimus quæ ab
μεν ἐπὶ τῇ ἐφόδῳ αὐτῶν. 22 καὶ ἀνεγράψαμεν τὰ ὑπ'
ipsis dicta sunt in conciliis populi sic: Nume-
αὐτῶν εἰρημένα ἐν ταῖς βουλαῖς τοῦ δήμου οὕτως· νουμή-
nius Antiochi, & Antipater Iasonis legati Iu-
νιος ἀντιόχου, καὶ ἀντίπατρος ἰάσονος πρεσβευταὶ ἰου-
dæorum venerunt ad nos ad renouandum erga
δαίων ἦλθον πρὸς ἡμᾶς ἀνανεούμενοι τὴν πρὸς
nos amicitiam. Et placuit populo excipere
ἡμᾶς φιλίαν. 23 καὶ ἤρεσε τῷ δήμῳ ἐπιδέξασθαι τοὺς
viros gloriosè, & vt poneretur exemplum sermonum
ἄνδρας ἐνδόξως, καὶ τοῦ θέσθαι τὸ ἀντίγραφον τῶν λόγων
illorum in præsentibus populo libris, vt
αὐτῶν ἐν τοῖς ἀποδεδειγμένοις τῷ δήμῳ βιβλίοις, τοῦ
memoriam haberet populus Spartiatarum. Et exem-
μνημόσυνον ἔχειν τὸν δῆμον τῶν σπαρτιατῶν. τὸ δὲ ἀν-
plum horum scripserunt Simoni principi sacerdotum.
τίγραφον τούτων ἔγραψαν σίμωνι τῷ ἀρχιερεῖ. με-
Post hæc misit Simon Numenium in Romam,
τὰ ταῦτα ἀπέστειλε σίμων τὸν νουμήνιον εἰς ῥώμην, 24
habentem clypeum aureum magnum pondo minarum mil-
ἔχοντα ἀσπίδα χρυσῆν μεγάλην ὁλκῆς μνῶν χι-
lium, ad statuendum cum eis societatem.
λίων, εἰς τὸ στῆσαι πρὸς αὐτοὺς τὴν συμμαχίαν.

Vt autem audiuit populus sermones istos, dixerunt: Quam
25 ὡς δὲ ἤκουσεν ὁ δῆμος τῶν λόγων τούτων εἶπον· τίνα
gratiam reddemus Simoni & filiis eius? Fir-
χάριν ἀποδώσομεν σίμωνι καὶ τοῖς υἱοῖς αὐτοῦ; 26 ἐστή-
mauit enim ipse & fratres eius, & domus patris
ρισε γὰρ αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ὁ οἶκος τοῦ πατρὸς
eius & expugnauerunt inimicos Israel ab eis,
αὐτοῦ, καὶ ἐπολέμησαν τοὺς ἐχθροὺς ἰσραὴλ ἀπ' αὐτῶν,
& statuerunt ei libertatem, & descripserunt in tabulis
καὶ ἔστησαν αὐτῷ ἐλευθερίαν, καὶ κατέγραψαν ἐν δέλτοις
æreis, & posuerunt in columnis in monte Sion. Et hoc
χαλκαῖς, καὶ ἔθεντο ἐν στήλαις ἐν ὄρει σιών. 27 καὶ τοῦτο τὸ
exemplum scripturæ DECIMA octaua Elul, anno
ἀντίγραφον τῆς γραφῆς· ὀκτωκαιδεκάτῃ ἐλοὺλ, ἔτους
secundo & septuagesimo & centesimo, & hic tertius
δευτέρου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ, καὶ τοῦτο τρίτον
annus, sub Simone principe sacerdotū in Saramel: In conuen-
ἔτος, ἐπὶ σίμωνος ἀρχιερέως ἐν σαραμέλ, 28 ἐπὶ συνα-
tu magno sacerdotum, & populi, & principum gentis, &
γωγῆς μεγάλης ἱερέων καὶ λαοῦ καὶ ἀρχόντων ἔθνους καὶ
seniorum regionis innotuit nobis, quoniam fre-
τῶν πρεσβυτέρων τῆς χώρας ἐγνώρισεν ἡμῖν, ἐπεὶ πολ-
quenter facta sunt prœlia in regione. Simon autē
λάκις ἐγενήθησαν πόλεμοι ἐν τῇ χώρᾳ. 29 σίμων δὲ
Mattathiæ filius filiorum Iarib, & fratres eius de-
ὁ ματταθίου ὁ υἱὸς τῶν υἱῶν ἰαρίβ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἔ-
derunt seipsos periculo, & restiterunt aduer-
δωκαν ἑαυτοὺς τῷ κινδύνῳ, καὶ ἀντέστησαν τοῖς ὑπε-
sariis gentis suæ, vt starent sancta ipsorum &
ναντίοις τοῦ ἔθνους αὐτῶν, ὅπως σταθῇ τὰ ἅγια αὐτῶν καὶ
lex: & gloria magna glorificauerunt gentem suam.
ὁ νόμος, καὶ δόξη μεγάλη ἐδόξασαν τὸ ἔθνος αὐτῶν.

Et congregauit Ionathas gentem suam, & factus est e-
30 καὶ ἤθροισε ἰωνάθαν τὸ ἔθνος αὐτῶν, καὶ ἐγενήθη αὐ-
is princeps sacerdotū, & appositus est ad populum suum.
τοῖς ἀρχιερεὺς, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.
Et voluerunt inimici eorum ascendere in
31 καὶ ἐβουλήθησαν οἱ ἐχθροὶ αὐτῶν ἐμβατεῦσαι εἰς τὴν
regionem eorum, vt contererent regionem illorum & ex-
χώραν αὐτῶν τοῦ ἐκτρῖψαι τὴν χώραν αὐτοῦ καὶ ἐκ-
tenderent manus in sancta eorum. Tunc surrexit Si-
τεῖναι χεῖρας ἐπὶ τὰ ἅγια αὐτῶν. 32 τότε ἀνέστη σί-
mon. & pugnauit pro gente sua, & expen-
μων, καὶ ἐπολέμησε περὶ τοῦ ἔθνους αὐτοῦ, καὶ ἐδαπάνη-
dit pecunias multas ex suis, & armauit vi-
σε χρήματα πολλὰ τῶν ἑαυτοῦ, καὶ ὡπλοδότησε τοὺς ἄν-
ros exercitus gentis suæ, & dedit eis
δρας τῆς δυνάμεως τοῦ ἔθνους αὐτοῦ, καὶ ἔδωκεν αὐτοῖς
stipendia. Et muniuit ciuitates Iudææ, &
ὀψώνια. 33 καὶ ὠχύρωσε τὰς πόλεις τῆς ἰουδαίας καὶ τὴν
Bethsuram quæ in finibus Iudææ, vbi erant ar-
βαιθσοῦραν τὴν ἐπὶ τῶν ὁρίων τῆς ἰουδαίας, οὗ ἦν τὰ ὅ-
ma hostium prius, & posuit illic præ-
αὐτοὺς ἐθνῶν πολυπληθίαν· ἀγωνίσασθαι δὲ γενναίως
ante oculos recipientes iniustè in sanctum
πρὸ ὀφθαλμῶν λαβόντας τὴν ἀνόμως εἰς τὸν ἅγιον
locum factam ab illis contumeliam: Et
τόπον συντετελεσμένην ὑπ' αὐτῶν ὕβριν, καὶ τὸν τῆς 17
illusae ciuitatis iniuriam. adhuc autē
ἐμπεπαιγμένης πόλεως αἰκισμόν· ἔτι δὲ τὴν τῆς
praeteriti instituti: dissolutionem. Illi namque ar-
προγονικῆς πολιτείας κατάλυσιν. οἱ μὲν γὰρ ὅ- 18
mis confidunt simul & audaciae, sit nos autem
πλοις πεποίθασιν ἅμα καὶ τόλμαις ἔφησεν· ἡμεῖς δὲ
in omnipotente Deo qui potest & ve-
ἐπὶ τῷ παντοκράτορι θεῷ δυναμένῳ καὶ τοὺς ἐρχο-
nientes aduersū nos & vniuersum mundum in vno nutu de-
μένους ἐφ' ἡμᾶς καὶ τὸν ὅλον κόσμον ἐν ἑνὶ νεύματι κα-
lere, confidimus. Enarrans autē eis
ταβαλεῖν πεποίθαμεν. προσαναλεξάμενος δὲ αὐτοῖς 19
& erga progenitores facta auxilia, &
καὶ τὰς ἐπὶ τῶν προγόνων γενομένας ἀντιλήψεις, καὶ
quod fuit sub Sennacherim centum octoginta quinque mil-
τὴν ἐπὶ σενναχηρεὶμ τὴν ἑκατὸν ὀγδοήκοντα πέντε χι-
lia quomodo perierunt: Et quod in Babylonia
λιάδων ὡς ἀπώλοντο. καὶ τὴν ἐν τῇ βαβυλωνίᾳ τὴν 20
aduersus Galatas praelium fuit; vt
πρὸς τοὺς γαλάτας παράταξιν γενομένην ὡς οἱ
omnes ad rem venerunt octo millia, cum Mace-
πάντες ἐπὶ τὴν χρείαν ἦλθον ὀκτακισχίλιοι σὺν μακε-
donibus quatuor mille: Macedonibus haesitantibus,
δόσι τετρακισχιλίοις· τῶν μακεδόνων ἀπορουμένων, οἱ
octo mille duodecim millia peremerunt ob
ὀκτακισχίλιοι τὰς δώδεκα μυριάδας ἀπώλεσαν διὰ
factum ipsis à caelo auxilium: & vtilitatem
τὴν γενομένην αὐτοῖς ἀπ' οὐρανοῦ βοήθειαν, καὶ ὠφέλειαν

multam acceperunt. Propter quae audaces eos consti-
21 πολλὴν ἔλαβον. ἐφ' οἷς εὐθαρσεῖς αὐτοὺς παραστή-
tuens & paratos pro legibus & patria mo-
σας καὶ ἑτοίμους ὑπὲρ τῶν νόμων καὶ τῆς πατρίδος ἀπο-
ri quadripartitum exercitum fecit, Constituens
22 θνήσκειν τετραμερές τι τὸ στράτευμα ἐποίησε, τάξας
& fratres suos duces vtriusque or-
καὶ τοὺς ἀδελφοὺς αὐτοῦ προηγουμένους ἑκατέρας τά-
dinis, Simonem & Iosephum, & Ionathan, subiiciens vni-
ξεως, σίμωνα καὶ ἰώσηπον, καὶ ἰωνάθαν, ὑποτάξας ἑ-
cuique mille supra quingentos. Adhuc autē &
23 κάστῳ χιλίους πρὸς τοῖς πεντακοσίοις. ἔτι δὲ καὶ
Eleazarum cùm legisset sacrum librum, & dedisset
ἐλεάζαρον παραναγνοὺς τὴν ἱερὰν βίβλον, καὶ δοὺς
signum Dei adiutorii, primi ordinis ipse
σύνθημα θεοῦ βοηθείας, τῆς πρώτης σπείρας αὐτὸς
dux committit cum Nicanore, Facto
προηγούμενος συνέβαλε τῷ νικάνορι. γενομένου
autē illis Omnipotente adiutore, interfecerunt
24 δὲ αὐτοῖς τοῦ παντοκράτορος συμμάχου, κατέσφαξαν
ex hostibus supra nouem mille, vulneratos
τῶν πολεμίων ὑπὲρ τοὺς ἐνακισχιλίους, τραυματίας
autē & membris mutilos maiorem partem
δὲ καὶ τοῖς μέλεσιν ἀναπήρους τὸ πλεῖον μέρος τῆς τοῦ
Nicanoris exercitus fecerunt: omnes autē fugere
νικάνορος στρατιᾶς ἐποίησαν· πάντας δὲ φυγεῖν
coegerunt: At pecuniam illorum qui venerant
25 ἠνάγκασαν. τὰ δὲ χρήματα τῶν παραγεγονότων
ad emptionem ipsorum acceperunt: persequentes autē
ἐπὶ τὸν ἀγορασμὸν αὐτῶν ἔλαβον· συνδιώξαντες δὲ
eos diu, cessauerunt ab hora conclu-
αὐτοὺς ἐφ' ἱκανὸν, ἀνέλυσαν ὑπὸ τῆς ὥρας συγκλειό-
si. Erat enim (dies) ante Sabbatum, ob quam causam non
26 μενοι. ἦν γὰρ ἡ πρὸ τοῦ σαββάτου, δι' ἣν αἰτίαν οὐκ
diu persteterunt insequentes illos. Arma colli-
27 ἐμακροθύμησαν κατατρέχοντες αὐτούς. ὁπλολο-
gentes verò eorum, & spolia exuentes inimi-
γήσαντες δὲ αὐτοὺς, καὶ τὰ σκῦλα ἐκδύσαντες τῶν πο-
corum in Sabbato erant: vehementer benedi-
λεμίων περὶ τὸ σάββατον ἐγίνοντο· περισσῶς εὐλο-
centes, & confitentes Domino qui seruauit
γοῦντες, καὶ ἐξομολογούμενοι τῷ κυρίῳ τῷ διασώσαντι
in diem hanc initium misericordiae instillantis eis.
εἰς τὴν ἡμέραν ταύτην ἀρχὴν ἐλέους τάξαντος αὐτοῖς.
Post autē sabbatum debilibus & vi-
28 μετὰ δὲ τὸ σάββατον τοῖς ᾐκισμένοις καὶ ταῖς χή-
duis & orphanis diuidentes de spoliis, reli-
ραις καὶ ὀρφανοῖς μερίσαντες ἀπὸ τῶν σκύλων, τὰ λοι-
qua ipsi & pueri partiti sunt. Haec autem cū gessis-
πὰ αὐτοὶ καὶ τὰ παιδία ἐμερίσαντο. ταῦτα δὲ διαπρα-
sent, & communē obsecrationē facientes, miseri-
29 ξάμενοι καὶ κοινὴν ἱκετείαν ποιησάμενοι, τὸν ἐλεή-
cordē Dominum postulabant in finem reconciliari suis
μονα κύριον ἠξίουν εἰς τέλος καταλλαγῆναι τοῖς αὐτοῦ
seruis: Et eos qui circa Timotheum & Bacchidem confir-
δούλοις. καὶ τοῖς περὶ τιμόθεον καὶ βακχίδην συνερεί-
mari supra viginti millia ipsorum interfecerūt, & munitio-
30 σαντες ὑπὲρ τοὺς δισμυρίους αὐτῶν ἀνεῖλον, καὶ ὀχυρω-
num excelsarum valde compotes facti sunt; &
μάτων ὑψηλῶν εὖ μάλα ἐγκρατεῖς ἐγένοντο. καὶ
spolia plura diuiserunt, aequales portione se &
λάφυρα πλείονα ἐμερίσαντο, ἰσομοίρους αὐτοὺς καὶ
debilibus, & orphanis, & viduis, adhuc autē & senio-
τοῖς ᾐκισμένοις, καὶ ὀρφανοῖς καὶ χήραις, ἔτι δὲ καὶ πρεσβυ-
ribus facientes. Arma colligentes autē illorum, dili-
τέροις ποιήσαντες. ὁπλολογήσαντες δὲ αὐτοὺς, ἐπι-
genter omnia composuerunt in opportunis locis;
31 μελῶς πάντα συνέθηκαν εἰς τοὺς ἐπικαίρους τόπους
at residua spolia tulerunt in Hierosolyma.
τὰ δὲ λοιπὰ τῶν σκύλων ἤνεγκαν εἰς ἱεροσόλυμα.

At Philarchen qui circa Timotheum interfecerunt sce-
Φιλάρχην τὸν περὶ τὸν Τιμόθεον ἀνεῖλον ἀνο- 32
lestissimum virum & qui in multis Iudæos affligerat.
σιώτατον ἄνδρα καὶ πολλὰ τοὺς Ἰουδαίους ἐπιλελυ-
rat. Epinicia verò agentes in patria qui
πηκότα. ἐπινίκια δὲ ἄγοντες ἐν τῇ πατρίδι, τοὺς 33
succenderant sacras ianuas, Callisthem incen-
ἐμπρήσαντας τοὺς ἱεροὺς πυλῶνας καλλισθένην ὑφῆ-
derunt in vnâ domûculâ cōfugientium,& dignam impieta-
ψαν εἰς ἓν οἰκίδιον πεφευγότα, καὶ τὸν ἄξιον τῆς δυσσε-
te tulit mercedem. At impientissimus Ni-
βείας ἐκομίσατο μισθόν. ὁ δὲ τρισαλιτήριος Νι- 34
canor qui mille mercatores ad venditionē
κάνωρ ὁ τοὺς χιλίους ἐμπόρους ἐπὶ τὴν πρᾶσιν τῶν
Iudæorum duxerat: Humiliatus ab eis qui apud se
Ἰουδαίων ἀγαγών, ταπεινωθεὶς ὑπὸ τῶν κατ' αὐτὸν 35
reputati fuerant infimi esse. Domini auxilio
νομιζομένων ἐλαχίστων εἶναι, τῇ τοῦ κυρίου βοηθείᾳ τὴν
gloriosam deponens vestem,per mediterraneam fugiti-
δοξικὴν ἀποθέμενος ἐσθῆτα διὰ τῆς μεσογείου δραπέ-
ui modo solitarium se faciens, venit Antiochiam super
του τρόπον ἔρημον ἑαυτὸν ποιήσας, ἧκεν εἰς Ἀντιόχειαν ὑπὲρ
omnia prosperatus in exercitus interitu. Et
ἄκρον δυσημερηκὼς ἐπὶ τῇ τοῦ στρατοῦ διαφθορᾷ. καὶ 36
qui Romanis promiserat tributum,de eorum qui in Hie-
ὁ τοῖς Ῥωμαίοις ἀναδεξάμενος φόρον ἀπὸ τῆς τῶν ἐν Ἱε-
rosolymis captiuitate restituturum, nuncia-
ροσολύμοις αἰχμαλωσίας κατορθώσασθαι, κατήγγελ-
uit protectorem habere Deum Iudæos, & propter
λεν ὑπέρμαχον ἔχειν τὸν θεὸν τοὺς Ἰουδαίους, καὶ διὰ
modum hunc inuulnerabiles esse Iudæos, quia
τὸν τρόπον τοῦτον ἀτρώτους εἶναι τοὺς Ἰουδαίους, διὰ
secuti sunt ab eo constitutas
τὸ ἀκολουθεῖν τοῖς ὑπ' αὐτοῦ προστεταγμένοις
leges.
νόμοις.

CAP. IX. θ'

Circa autē tempus illud erat Antiochus
Περὶ δὲ τὸν καιρὸν ἐκεῖνον ἐτύγχανεν Ἀντίοχος 1
reuersus inhonestè ex iis qui circa Persiam lo-
ἀναλελυκὼς ἀκόσμως ἐκ τῶν περὶ τὴν Περσίδα τό-
cis. Intrauerat enim in eam quæ dicitur Persepolis,
πων. εἰσεληλύθει γὰρ εἰς τὴν λεγομένην Περσέπολιν, 2
& tentauit sacra spoliare,& ciuitatē obtinere: quā ob-
καὶ ἐπεχείρησεν ἱεροσυλεῖν, καὶ τὴν πόλιν συνέχειν· διὸ
rem multitudine concurrente ad armorum
δὴ τῶν πληθῶν ὁρμησάντων ἐπὶ τὴν τῶν ὅπλων
auxilium fugati sunt: & contigit versum in fugam An-
βοήθειαν, ἐτράπησαν· καὶ συνέβη τροπωθέντα τὸν Ἀν-
tiochum ab indigenis, turpem reditum
τίοχον ὑπὸ τῶν ἐγχωρίων, ἀσχήμονα τὴν ἀναζυγὴν
facere. Existenti autē illi in Ecbatanis comper-
ποιήσασθαι. ὄντι δὲ αὐτῷ κατ' Ἐκβάτανα προσέ- 3
ta sunt quæ erga Nicanorem & Timotheum gesta sunt.
πεσε τὰ κατὰ Νικάνορα καὶ τοὺς περὶ Τιμόθεον γεγονότα.
Elatus autē ira arbitrabatur & eorum qui fuga-
ἐπαρθεὶς δὲ τῷ θυμῷ ᾤετο καὶ τὴν τῶν πεφυγα- 4
uerant se malignitatem in Iudæos retorsu-
δευκότων αὐτὸν κακίαν εἰς τοὺς Ἰουδαίους ἐναπερείσα-
rum: ideoq. iussit aurigam incessan-
σθαι· διὸ συνέταξε τὸν ἁρματηλάτην ἀδιαλεί-
ter agitantem expedire iter: ex cœlo
πτως ἐλαύνοντα κατανύειν τὴν πορείαν· τῆς ἐξ οὐρανοῦ
iam iudicio vrgente eum: sic enim superbè
ἤδη κρίσεως συνούσης αὐτῷ. οὕτω γὰρ ὑπερηφάνως
dixit: Cœmeterium Iudæorum Hierosolymam faciam
εἶπε· πολυάνδριον Ἰουδαίων Ἱεροσόλυμα ποιήσω
veniens illuc: At omnipotens Dominus
παραγενόμενος ἐκεῖ. ὁ δὲ παντεπόπτης κύριος 5

Deus Israel, percussit eum insanabili & inuisi-
ὁ θεὸς τοῦ Ἰσραὴλ ἐπάταξεν αὐτὸν ἀνιάτῳ καὶ ἀορά-
bili plaga. statim autē vt finiuit sermonem,
τῳ πληγῇ· ἄρτι δὲ αὐτοῦ καταλήξαντος τὸν λόγον,
apprehendit eū immedicabilis viscerum dolor & a-
ἔλαβεν αὐτὸν ἀνήκεστος τῶν σπλάγχνων ἀλγηδὼν καὶ πι-
mara internorum tormenta, Valde iuste eū qui multis &
κραὶ τῶν ἔνδον βάσανοι, πάνυ δικαίως τὸν πολλαῖς καὶ 6
nouis calamitatibus aliorum viscera torse-
ξενιζούσαις συμφοραῖς ἑτέρων σπλάγχνα βασανί-
rat. Ille autē nequaquam a iactantia cessabat,adhuc autē &
σαντα. ὁ δ' οὐδαμῶς τῆς ἀγερωχίας ἔληγεν· ἔτι δὲ καὶ 7
superbia repletus erat, ignem spirans furore
τῆς ὑπερηφανίας ἐπεπλήρωτο, πῦρ πνέων τοῖς θυμοῖς
in Iudæos, & præcipiens festinare iter:
ἐπὶ τοὺς Ἰουδαίους, καὶ κελεύων ἐποξύνειν τὴν πορείαν,
contigit autē & cadere eum de curru qui ferebatur
συνέβη δὲ καὶ πεσεῖν αὐτὸν ἀπὸ τοῦ ἅρματος φερομένου
impetu, & graui casu cadenti omnia membra
ῥοίζῳ, καὶ δυσχερεῖ πτώματι περιπεσόντα πάντα τὰ μέλη
corporis vexari. Ille autē qui nuper sibi videbatur
τοῦ σώματος ἀποστρεβλοῦσθαι. ὁ δ' ἄρτι δοκῶν τοῖς τῆς 8
maris fluctibus imperare propter eā quæ supra hominē
θαλάσσης κύμασιν ἐπιτάσσειν διὰ τὴν ὑπὲρ ἄνθρωπον
arrogantiam, & statera montiū arbitratus altitudines appē-
ἀλαζονείαν, καὶ πλάστιγγι τὰ τῶν ὀρέων οἰόμενος ὕψη στή-
dere, in terra existens in gestatorio portabatur, mani-
σειν, κατὰ γῆν γενόμενος ἐν φορείῳ παρεκομίζετο, φανε-
festam Dei omnibus potentiam demonstrans: Ita vt &
ρὰν τοῦ θεοῦ πᾶσι τὴν δύναμιν ἐνδεικνύμενος. ὥστε καὶ 9
corpore impij vermes scaturirent: &
ἐκ τοῦ σώματος τοῦ δυσσεβοῦς σκώληκας ἀναζεῖν· καὶ
viuentis in doloribus & tormentis, carnes eius cade-
ζῶντος ἐν ὀδύναις καὶ ἀλγηδόσι, τὰς σάρκας αὐτοῦ διαπί-
rent: præ autē odore eius, omnis exercitus
πτειν· ὑπὸ δὲ τῆς ὀσμῆς αὐτοῦ, πᾶν τὸ στρατόπεδον
grauaretur ob putredinē. Et eū qui paulo antè ce-
βαρύνεσθαι τὴν σαπρίαν. καὶ τὸν μικρῷ πρότερον τῶν οὐ- 10
lestia sidera contingere videbatur, portare ne-
ρανίων ἄστρων ἅπτεσθαι δοκοῦντα, παρακομίζειν οὐ-
mo poterat ob fœtoris intolerabilem grauitatem. Hic
δεὶς ἐδύνατο διὰ τὸ τῆς ὀσμῆς ἀφόρητον βάρος. ἐν- 11
igitur cœpit à multa superbia desinere
ταῦθα οὖν ἤρξατο τὸ πολὺ τῆς ὑπερηφανίας λήγειν
vulneratus, & in agnitionem venire diuino flagello,
τεθραυσμένος, καὶ εἰς ἐπίγνωσιν ἔρχεσθαι θείᾳ μάστιγι
per momentum augmentatus in doloribus. Et ne-
κατὰ στιγμὴν ἐπιτεινόμενος ταῖς ἀλγηδόσι. καὶ μη- 12
que odorem suum potens ferre hæc ait:
δὲ τῆς ὀσμῆς αὐτοῦ δυνάμενος ἀνέχεσθαι ταῦτ' ἔφη·
Iustum est subdi Deo, & non mortalē existentem paria
δίκαιον ὑποτάσσεσθαι τῷ θεῷ, καὶ μὴ θνητὸν ὄντα ἰσό-
Deo sapere. Orabat autē scelestus ad eum qui non iam e-
θεα φρονεῖν. ηὔχετο δὲ ὁ μιαρὸς πρὸς τὸν οὐκέτι αὐ- 13
ius misertus erat Dominum, sic dicens: Ipsā quidē sanctam
τὸν ἐλεήσοντα δεσπότην οὕτω λέγων· τὴν μὲν ἁγίαν 14
ciuitatē ad quam festinans veniebat,solo æquatam vt faceret & cœ-
πόλιν ἣν σπεύδων παρεγίνετο ἰσόπεδον ποιῆσαι καὶ πο-
meterium ædificaret, Liberam facturum: at
λυάνδριον οἰκοδομῆσαι, ἐλευθέραν ἀναδεῖξαι· τοὺς δὲ 15
Iudæos, quos decreuerat neque sepultura dignaturum, sed a-
Ἰουδαίους, οὓς διεγνώκει μηδὲ ταφῆς ἀξιῶσαι, οἰω-
bus deuorādos autem cum paruulis proiecturum feris,
νοβρώτους δὲ σὺν τοῖς νηπίοις ἐκρίψειν θηρίοις,
omnes eos æquales Atheniensib. facturum. Quod autē pri-
πάντας αὐτοὺς ἴσους Ἀθηναίοις ποιήσειν. ὃν δὲ πρό- 16
us spoliauerat sanctum templū, optimis donis
τερον ἐσκύλευσεν ἅγιον νεὼν, καλλίστοις ἀναθήμασι
ornaturum: & sancta vasa multo plura omnia
κοσμήσειν, καὶ τὰ ἱερὰ σκεύη πολυπλάσια πάντα
ἀποδώσειν

restituturum, et pertinentes ad sacrificia
ἀποδώσειν, τὰς δὲ ἐπιβαλλούσας πρὸς τὰς θυσίας
sumptus ex propriis reditibus præstaturum.
προσεπιστείλειν ἐκ τῶν ἰδίων προσόδων χορηγήσειν.
Super autem hæc & Iudæum, futurum, & omnem locum
πρὸς δὲ τούτοις καὶ ἰουδαῖον ἔσεσθαι, καὶ πάντα τόπον 17
habitabilem perambulaturum nuntiantem Dei potestatem.
οἰκητὸν ἐπελεύσεσθαι καταγγέλλοντα τὸ τοῦ θεοῦ κράτος.
Nequaquam autē cessantibus doloribus, superuenerat enim
οὐδαμῶς δὲ ληγόντων τῶν πόνων, ἐπεληλύθει γὰρ 18
in eum iustum Dei iudicium: de se de-
ἐπ' αὐτὸν δικαία ἡ τοῦ θεοῦ κρίσις· τὰ καθ' αὐτὸν ἀ-
sperans scripsit ad Iudæos subscri-
πελπίσας ἔγραψε πρὸς τοὺς ἰουδαίους τὴν ὑπογε-
ptam epistolam deprecationis ordinem habentem, cō-
γραμμένην ἐπιστολὴν ἱκετηρίας τάξιν ἔχουσαν πε-
tinentem autem sic: Bonis Iudæis
ριέχουσαν δὲ οὕτως· Τοῖς χρηστοῖς ἰουδαίοις τοῖς 19
ciuibus multum gaudere & valere & esse felices
πολίταις πολλὰ χαίρειν καὶ ὑγιαίνειν καὶ εὖ πράττειν
rex & dux Antiochus. Si valetis, &
βασιλεὺς καὶ στρατηγὸς ἀντίοχος. εἰ ἔρρωσθε καὶ τὰ 20
filij & propria, ex sententia est vobis. In cælo
τέκνα καὶ τὰ ἴδια, κατὰ γνώμην ἐστὶν ὑμῖν. εἰς οὐρανὸν 21
spem habens vestrūm honoris & beneuolentiæ
τὴν ἐλπίδα ἔχων ὑμῶν τὴν τιμὴν καὶ τὴν εὔνοιαν ἀ-
recordatus sum benignè; reuersus de
ἐμνημόνευον φιλοστόργως ἐπανάγων ἐκ τῶν περὶ τὴν
Persiæ locis, & incidens in infirmitatem grauitatem
περσίδα τόπων, καὶ περιπεσὼν ἀσθενείᾳ δυσχέρειαν
habentem, necessarium duxi curam habere communis
ἐχούσῃ ἀναγκαῖον ἡγησάμην φροντίσαι τῆς κοινῆς
omnium securitatis. Non desperans de
πάντων ἀσφαλείας, οὐκ ἀπογινώσκων τὰ κατ' 22
meipso, sed habens multam spem effugiendi
ἐμαυτόν, ἀλλ' ἔχων πολλὴν ἐλπίδα ἐκφεύξεσθαι τὴν
infirmitatem. Cōsiderans autē quod & pater, quib. tem-
ἀσθένειαν. θεωρῶν δὲ ὅτι καὶ ὁ πατὴρ καθ' οὓς και- 23
poribus ad superiora loca duxit exercitum, ostendit eū qui
ροὺς εἰς τοὺς ἄνω τόπους ἐστρατοπέδευσεν, ἀνέδειξε τὸν
successurus erat, Vt si quid præter opinionem accideret, vel
διαδεξόμενον, ὅπως ἐάν τι παράδοξον ἀποβαίνῃ, ἢ 24
& nunciaretur quid difficile, scientes indigenæ
καὶ προσαγγελθῇ τι δυσχερές, εἰδότες οἱ κατὰ τὴν χώραν
cui relictæ erant res, non turbaren-
ᾧ καταλέλειπται τὰ πράγματα, μὴ ἐπιταράσσων-
tur. Ad autē hæc considerans adiacentes
ται. πρὸς δὲ τούτοις κατανοῶν τοὺς παρακειμένους 25
potentes & vicinos regno tēporibus atten-
δυνάστας καὶ γειτνιῶντας βασιλείᾳ τοῖς καιροῖς ἐπε-
dentes & expectantes quod euenturum est, designa-
χοντας καὶ προσδοκῶντας τὸ ἀποβησόμενον, ἀποδέ-
ui filium Antiochum regem: quem sæpe accur-
δειχα τὸν υἱὸν ἀντίοχον βασιλέα, ὃν πολλάκις ἀνα-
rens in superiora regna, apud plurimos
τρέχων εἰς τὰς ἐπάνω σατραπείας, τοῖς πλείστοις
vestrūm deponebam, & cōmendabā: scripsi autē
ὑμῶν παρακατετιθέμην καὶ συνίστων· γέγραφα δὲ
ad eum subscripta. Hortor igitur
πρὸς αὐτὸν τὰ ὑπογεγραμμένα. παρακαλῶ οὖν 26
vos & peto, memores beneficiorum communiter &
ὑμᾶς καὶ ἀξιῶ, μεμνημένους τῶν εὐεργεσιῶν κοινῇ καὶ
priuatim, vt vnusquisq; cōseruet existentem amicitiā erga me &
κατ' ἰδίαν, ἕκαστον συντηρεῖν τὴν οὖσαν εὔνοιαν εἰς ἐμὲ καὶ
filium. Certus sum enim eum benignè & huma-
τὸν υἱόν. πέπεισμαι γὰρ αὐτὸν ἐπιεικῶς καὶ φιλανθρώ- 27
nè sequentem meum propositum obsecutu-
πως παρακολουθοῦντα τῇ ἐμῇ προαιρέσει συμπεριενεχ-
rum vobis. Ille igitur homicida & blasphe-
θήσεσθαι ὑμῖν. ὁ μὲν οὖν ἀνδροφόνος καὶ βλάσφη- 28
mus pessimè passus, vt alios tractauit, in pere-
μος τὰ χείριστα παθών, ὡς ἑτέρους διέθηκεν, ἐπὶ ξε-
grina terra in montibus miserò obitu commutauit vitam.
νης ἐν τοῖς ὄρεσιν οἰκτίστῳ μόρῳ κατέστρεψε τὸν βίον.
Portabat autē corpus Philippus collactaneus e-
παρεκομίζετο δὲ τὸ σῶμα φίλιππος ὁ σύντροφος αὐ- 29
ius: qui & metuens filium Antiochi ad Pto-
τοῦ· ὃς καὶ διευλαβηθεὶς τὸν υἱὸν ἀντιόχου, πρὸς πτο-
lemæum Philometorem in Ægyptum abiit.
λεμαῖον τὸν φιλομήτορα εἰς αἴγυπτον διεκομίσθη.

CAP. X.

Machabæus autem & qui cum eo, Domino du-
1 Μακκαβαῖος δὲ καὶ οἱ σὺν αὐτῷ τοῦ κυρίου προάγ-
cente eos, ipsum quidē templū recuperauerunt & vrbem.
οντος αὐτούς, τὸ μὲν ἱερὸν ἐκομίσαντο καὶ τὴν πόλιν.
At in foro aras ab alienige-
2 τοὺς δὲ κατὰ τὴν ἀγορὰν βωμοὺς ὑπὸ τῶν ἀλλοφύ-
nis structas: adhuc autē & delubra demoliti
λων δεδημιουργημένους ἔτι δὲ καὶ τὰ τεμένη καθεῖλο-
sunt. Et templū purgantes, aliud alta-
3 σαν. καὶ τὸν νεὼν καθαρίσαντες, ἕτερον θυσιαστή-
re fecerunt; & incendentes lapides, & ignem ex his
ριον ἐποίησαν· καὶ πυρώσαντες λίθους, καὶ πῦρ ἐκ τούτων
accipientes, obtulerunt sacrificium post biennij tempus, &
λαβόντες ἀνήνεγκαν θυσίαν μετὰ διετῆ χρόνον, καὶ
incensum & lucernas, & panum propositionem fece-
θυμίαμα καὶ λύχνους, καὶ τῶν ἄρτων τὴν πρόθεσιν ἐποίη-
runt. Hæc autē cùm fecissent, rogauerūt Dominum pro-
4 σαντο. ταῦτα δὲ ποιήσαντες, ἠξίωσαν τὸν κύριον πε-
cidentes super ventrem, ne amplius inciderent in hæc mala:
σόντες ἐπὶ κοιλίαν, μηκέτι περιπεσεῖν τοιούτοις κακοῖς,
sed si quando & peccauerint, ab eo cum beni-
ἀλλ' ἐάν ποτε καὶ ἁμάρτωσιν, ὑπ' αὐτοῦ μετ' ἐπιει-
gnitate corriperentur, & non blasphemis & barbaris
κείας παιδεύεσθαι, καὶ μὴ βλασφήμοις καὶ βαρβάροις
gentibus traderentur. In qua autē die templum ab alie-
5 ἔθνεσι παραδίδοσθαι. ἐν ᾗ δὲ ἡμέρᾳ ὁ νεὼς ὑπὸ ἀλλο-
nigenis pollutum est, contigit in eadem die
φύλων ἐβεβηλώθη, συνέβη κατὰ τὴν αὐτὴν ἡμέραν τὸν
purificationem fieri templi, quinta & vicesima
καθαρισμὸν γενέσθαι τοῦ ναοῦ, τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ
mensis, qui est Chaseleu. Et cum lætitia egerūt die.
6 μηνός, ὅς ἐστι χασελεῦ. καὶ μετ' εὐφροσύνης ἦγον ἡμέ-
octo tabernaculorum modo, memores quod
ρας ὀκτὼ σκηνωμάτων τρόπον, μνημονεύοντες ὡς
antē modicum temporis in tabernaculorum festo, in montib.
πρὸ μικροῦ χρόνου τὴν τῶν σκηνῶν ἑορτὴν, ἐν τοῖς ὄρεσι
& in speluncis ferarum more fuerant solitarij.
καὶ ἐν τοῖς σπηλαίοις θηρίων τρόπον ἦσαν μεμονωμένοι.
Quobrē thyrsos & ramos pulchros, item & palmas
7 διὸ θύρσους καὶ κλάδους ὡραίους, ἔτι δὲ φοίνικας
habentes, hymnos præferebant ei qui prosperauit mun-
ἔχοντες, ὕμνους ἀνέφερον τῷ εὐοδώσαντι καθαρι-
dari suum locum. Decreuerunt autē cum com-
σθῆναι τὸν ἑαυτοῦ τόπον. ἐδογμάτισαν δὲ μετὰ κοι-
8 muni precepto & decreto vniuersæ Iu-
νοῦ προστάγματος καὶ ψηφίσματος παντὶ τῷ τῶν ἰου-
dæorum genti singulis annis agere hos dies.
δαίων ἔθνει κατ' ἐνιαυτὸν ἄγειν τάσδε τὰς ἡμέρας.
Et quidem Antiochi qui appellatus est No-
9 καὶ τὰ μὲν τῆς ἀντιόχου τοῦ προσαγορευθέντος ἐπι-
bilis obitus, ita se habuit. Nunc autē ea quæ de Eu-
φανοῦς τελευτῆς οὕτως εἶχε. νυνὶ δὲ τὰ κατὰ τὸν εὐ- 10
patore Antiocho, filio autē impij gesta sunt, de-
πάτορα ἀντίοχον, υἱὸν δὲ τοῦ ἀσεβοῦς γενόμενα δη-
clarabimus ea: abbreuiantes continua bel-
λώσομεν αὐτά, συντέμνοντες τὰ συνέχοντα τῶν πο-
lorum mala. Hic enim cum suscepisset regnum,
11 λέμων κακά. οὗτος γὰρ παραλαβὼν τὴν βασιλείαν,

designauit super negotia Lysiam quendã: Coeles
ἀνέδειξεν ἐπὶ τῶν πραγμάτων λυσίαν τινά· κοίλης
autẽ Syriæ & Phœniciæ ducem primarium. Prole-
δὲ συρίας καὶ φοινίκης στρατηγὸν πρώταρχον. πτολε- 12
mæus enim vocatus Macer, iustitiam conserua-
μαῖος γὰρ ὁ καλούμενος μάκρων, τὸ δίκαιον συντη-
re eligens erga Iudæos propter factam
ρεῖν προηγούμενος εἰς τοὺς ἰουδαίους διὰ τὴν γεγενημένην
in eos iniuriam, tentabat(ur) erga illos pacificè
εἰς αὐτοὺς ἀδικίαν, ἐπειρᾶτο τὰ πρὸς αὐτοὺς εἰρηνικῶς
agere. Vnde accusatus ab amicis apud
διεξάγειν. ὅθεν κατηγορούμενος ὑπὸ τῶν φίλων πρὸς 13
Eupatorem, & proditor frequenter audiens, eò quòd
τὸν εὐπάτορα, καὶ προδότης παρ' ἕκαστα ἀκούων, διὰ τὸ
Cyprum sibi creditam à Philometore, deseruis-
τὴν κύπρον ἐμπιστευθεῖσαν ὑπὸ τοῦ φιλομήτορος ἐκλι-
set, & ad Antiochum Nobilem transisset, neque
πεῖν, καὶ πρὸς ἀντίοχον τὸν ἐπιφανῆ ἀναχωρῆσαι, μήτε
nobilem potestatem generosè administrans: venenans
εὐγενῆ τὴν ἐξουσίαν εὐγενίσας, φαρμακεύσας
seipsum reliquit vitam. Gorgias autẽ cùm esset
ἑαυτὸν ἐξέλιπε τὸν βίον. γοργίας δὲ γενόμενος στρα- 14
dux locorum, aduenas accipiebat & assiduè contra
τηγὸς τῶν τόπων, ἐξενοτρόφει, καὶ παρ' ἕκαστα πρὸς τοὺς
Iudæos bellum gerebat. Simul verò cum hoc & Idu-
ἰουδαίους ἐπολεμοτρόφει. ἅμα δὲ τούτῳ καὶ οἱ ἰδου- 15
mæi compotes opportunarum munitionum existẽtes, exer-
μαῖοι ἐγκρατεῖς ἐπικαίρων ὀχυρωμάτων ὄντες, ἐγύ-
cebant Iudæos, & fugatos à Hie-
μναζον τοὺς ἰουδαίους, καὶ τοὺς φυγαδευθέντας ἀπὸ ἱε-
rosolymis suscipientes, debellare tenta-
ροσολύμων προσλαβόμενοι πολεμοτροφεῖν ἐπεχεί-
bant. Qui autẽ circa Maccabæum facientes o-
ρουν. οἱ δὲ περὶ τὸν μακκαβαῖον ποιησάμενοι λι- 16
rationem, & orantes Deum adiutorem eis es-
τανείαν, καὶ ἀξιώσαντες τὸν θεὸν σύμμαχον αὐτοῖς γε-
se, contra Idumæorum munitiones impetum fecerunt.
νέσθαι, ἐπὶ τὰ τῶν ἰδουμαίων ὀχυρώματα ὥρμησαν.
Quibus & insistentes fortiter, compotes facti sunt
οἷς καὶ προσβάλλοντες εὐρώστως, ἐγκρατεῖς ἐγένοντο 17
locorum, omnesque qui in muro pugnabant
τῶν τόπων, πάντας τε τοὺς ἐπὶ τῷ τείχει μαχομένους
vlti sunt: interemerunt autẽ occurrentes, inter-
ἠμύναντο· κατέσφαζον δὲ τοὺς ἐμπίπτοντας, ἀνεῖ-
fecerunt verò non minus viginti millibus. Cùm fugissent autem
λον δὲ οὐχ ἧττον τῶν δισμυρίων. συμφυγόντων δὲ 18
non minus nouem millibus in duas turres for-
οὐκ ἔλαττον τῶν ἐνακισχιλίων εἰς δύο πύργους ὀχυ-
tes valde, & omnia quæ ad obsidionem habentes.
ροὺς εὖ μάλα, καὶ πάντα τὰ πρὸς πολιορκίαν ἔχοντας.
Maccabæus ad vrgentes locos relinquens
ὁ μακκαβαῖος εἰς ἐπείγοντας τόπους ἀπολιπὼν 19
Simonem & Iosephum, adhuc autẽ & Zacchæum & qui cum
σίμωνα καὶ ἰώσηφον, ἔτι δὲ καὶ ζακχαῖον καὶ τοὺς σὺν
eo multos ad horum obsidionem, ipse
αὐτῷ ἱκανοὺς πρὸς τὴν τούτων πολιορκίαν, αὐτὸς
secessit. Qui autẽ circa Simonem pecuniæ auidi,
ἐχωρίσθη. οἱ δὲ περὶ τὸν σίμωνα φιλαργυρήσαντες 20
à quibusdã qui in turribus persuasi sunt argen-
ὑπό τινων τῶν ἐν τοῖς πύργοις ἐπείσθησαν ἀργυ-
to, septies autẽ decem millia drachmarum accipientes, permise-
ρίῳ, ἑπτάκις δὲ μυριάδας δραχμὰς λαβόντες, εἴα-
runt quosdam diffluere. Cùm nunciatum esset autẽ
σάν τινας διαρρυῆναι. προσαγγελθέντος δὲ τῷ 21
Maccabæo de eo quod factum est, congregans prin-
μακκαβαίῳ περὶ τοῦ γεγονότος, συναγαγὼν τοὺς ἡγου-
cipes populi, accusauit quòd pecunia vendidissent
μένους τοῦ λαοῦ, κατηγόρησεν ὡς ἀργυρίου πεπράκασι
fratres, aduersarios cõtra eos dimitten-
τοὺς ἀδελφούς, τοὺς πολεμίους κατ' αὐτῶν ἀπολύσαν-
tes. Hos quidem igitur proditores factos interfe-
τες. τούτους μὲν οὖν προδότας γενομένους ἀπέκτει- 22
cit, & confestim duas turres occupauit.
νε. καὶ παραχρῆμα τοὺς δύο πύργους κατελάβετο.
At armis omnino in manibus prosperatus
τοῖς δὲ ὅπλοις τὰ πάντα ἐν ταῖς χερσὶν εὐοδούμενος, 23
peremit in duabus munitionibus plusquam vigin-
ἀπώλεσεν ἐν τοῖς δυσὶν ὀχυρώμασι πλείους τῶν δισ-
ti mille. Timotheus autẽ qui prius superatus fuit à
μυρίων. τιμόθεος δὲ ὁ πρότερον ἡττηθεὶς ὑπὸ τῶν 24
Iudæis, congregans peregrinos exercitus multos,
ἰουδαίων, συναγαγὼν ξένας δυνάμεις παμπληθεῖς,
& qui Asiæ erant equites congregans non
καὶ τοὺς τῆς ἀσίας γενομένους ἵππους συναθροίσας οὐκ
paucos, affuit quasi armis capturus Iudæam.
ὀλίγους, παρῆν ὡς δορυάλωτον ληψόμενος τὴν ἰουδαίαν.
Qui autẽ circa Maccabæum appropinquante eo
οἱ δὲ περὶ τὸν μακκαβαῖον συνεγγίζοντος αὐτοῦ 25
ad supplicationẽ Dei, terra capita aspergen-
πρὸς ἱκετείαν τοῦ θεοῦ, γῇ τὰς κεφαλὰς καταπά-
tes & lumbos ciliciis cingentes, ad eã quæ est
σαντες καὶ τὰς ὀσφύας σάκκοις ζώσαντες, ἐπὶ τὴν 26
è regione altaris crepidinem, procidentes,
ἀπέναντι τοῦ θυσιαστηρίου κρηπῖδα προσπεσόντες,
rogabant propitiũ eis factum, inimicũ esse inimicis
ἠξίουν ἵλεων αὐτοῖς γενόμενον, ἐχθρεῦσαι τοῖς ἐχθροῖς
suis, & aduersari aduersantibus, sicut lex
αὐτῶν, καὶ ἀντικεῖσθαι τοῖς ἀντικειμένοις, καθὼς ὁ νόμος
declarat. Cùm fuissent autẽ post orationem, assumen-
διασαφεῖ. γενόμενοι δὲ ἀπὸ τῆς δεήσεως, ἀναλα- 27
tes arma, processerunt ab vrbe mi-
βόντες τὰ ὅπλα, προῆλθον ἀπὸ τῆς πόλεως ἐπὶ
nimum: appropinquantes autẽ inimicis, in se-
πλεῖον· συνεγγίσαντες δὲ τοῖς πολεμίοις, ἐφ' ἑαυ-
ipsis fuerunt. nuper autẽ Solis ortu diffuso, commisce-
τῶν ἦσαν. ἄρτι δὲ τῆς ἀνατολῆς διαχεομένης, προσέβα- 28
runt vtrique: isti quidẽ sponsorẽ habentes prosperitatis &
λον ἑκάτεροι· οἱ μὲν ἔγγυον ἔχοντες εὐημερίας καὶ
victoriæ cum virtute, in Dominum refugium: illi
νίκης μετ' ἀρετῆς, τὴν ἐπὶ τὸν κύριον καταφυγήν, οἱ
autẽ ducem certaminum constituentes animum.
δὲ καθηγεμόνα τῶν ἀγώνων ταττόμενοι τὸν θυμόν.
Cùm esset autẽ vehemens pugna, apparuerunt
γενομένης δὲ καρτερᾶς μάχης, ἐφάνησαν τοῖς 29
aduersariis de cælo in equis aureos frenos habẽtibus vi-
ὑπεναντίοις ἐξ οὐρανοῦ ἐφ' ἵππων χρυσοχαλίνων ἄν-
ri quinque decori, & duces Iudæorum
δρες πέντε διαπρεπεῖς, καὶ ἀφηγούμενοι τῶν ἰουδαίων
duo: Et Maccabæum accipientes medium, & co-
οἱ δύο. καὶ τὸν μακκαβαῖον λαβόντες μέσον, καὶ σκε- 30
perientes iis quæ supra eos armis, inuulneratum serua-
πάζοντες ταῖς ἑαυτῶν πανοπλίαις, ἄτρωτον διεφύλατ-
bant. contra autem aduersarios tela & fulmina iacie-
τον. εἰς δὲ τοὺς ὑπεναντίους τοξεύματα καὶ κεραυνοὺς ἐξερ-
bant: quamobrẽ confusi cæcitate intercidebantur tur-
ρίπτουν· διὸ συγχυθέντες ἀορασίᾳ διεκόπτοντο τα-
batione repleti. Interfecti sunt autẽ viginti
ραχῆς πεπληρωμένοι. κατεσφάγησαν δὲ δισμύ- 31
mille supra quingentos, equites autẽ sexcenti.
ριοι πρὸς τοῖς πεντακοσίοις, ἱππεῖς δὲ ἑξακόσιοι.
Ipse autẽ Timotheus confugit in Gazaram di-
αὐτὸς δὲ ὁ τιμόθεος συνέφυγεν εἰς γάζαρα λεγό- 32
ctum præsidium valde munitum, præsidente illic
μενον ὀχύρωμα εὖ μάλα φρούριον, στρατηγοῦντος ἐκεῖ
Chærea. Qui autẽ circa Maccabæum libentes obside-
χαιρέου. οἱ δὲ περὶ τὸν μακκαβαῖον ἄσμενοι περιεκά- 33
runt præsidium dies quatuor & viginti. Qui autẽ
θισαν τὸ φρούριον ἡμέρας τέσσαρας καὶ εἴκοσι. οἱ δὲ 34
intus firmitate loci confisi, valde
ἔνδον τῇ ἐρυμνότητι τοῦ τόπου πεποιθότες, ὑπεράγαν
ἐβλασφή-

blasphemabant, & sermones nefandos iactabant.
ἐβλασφήμουν καὶ λόγους ἀθεμίτους προσίεντο.
Illucescente autẽ quinta & vigesima die,
ὑποφαινούσης δὲ τῆς πέμπτης καὶ εἰκοστῆς ἡμέρας, 35
Iuuenes ex his qui circa Maccabæum, accensi ani-
νεανίαι τῶν περὶ τὸν μακκαβαῖον πυρωθέντες τοῖς θυ-
mis propter blasphemias, accedentes mu-
μοῖς διὰ τὰς βλασφημίας, προσβάλλοντες τῷ τεί-
ro, viriliter & efferato animo eũ qui occurrebat fe-
χει ἀρρενωδῶς, καὶ θηριώδει θυμῷ τὸν ἐμπίπτοντα ἔκο-
riebant. Alij autẽ similiter ascendentes in
πτον. ἕτεροι δὲ ὁμοίως προσαναβάντες ἐν τῷ 36
circumflexione aduersus eos qui intus incendebant tur-
περισπασμῷ πρὸς τοὺς ἔνδον ἐμπιπρῶντες τοὺς πύρ-
res: & pyras incendentes viuos blas-
γους, καὶ πυρὰς ἀνάπτοντες ζῶντας τοὺς βλασ-
phemos combusserunt. Alij autẽ portas fregerunt:
φήμους κατέκαυσαν. οἱ δὲ τὰς πύλας διέκοψαν, 37
intromittentes autẽ reliquum exercitum occupauerunt
εἰσδεξάμενοι δὲ τὴν λοιπὴν τάξιν προκατελάβοντο
ciuitatem. & Timotheum occultatum in quodã lacu
τὴν πόλιν, καὶ τὸν τιμόθεον ἀποκεκρυμμένον ἔν τινι λάκκῳ
iugularunt, & huius fratrem Chæream, &
κατέσφαξαν, καὶ τὸν τούτου ἀδελφὸν χαιρέαν καὶ τὸν
Apollophanem. Hæc autẽ cum gessissent, cum
ἀπολλοφάνην. ταῦτα δὲ διαπραξάμενοι μεθ' 38
hymnis & confessionibus benedicebãt Domino qui ma-
ὕμνων καὶ ἐξομολογήσεων εὐλόγουν τῷ κυρίῳ τῷ με-
gnificè benefaciebat Israel, & victoriam ipsis de-
γάλως εὐεργετοῦντι τὸν ἰσραήλ, καὶ τὸ νῖκος αὐτοῖς δι-
derat.
δόντι.

CAP. XI. ια.

Post paruum autẽ omnino tempus Lysias procura-
1 Μετ' ὀλίγον δὲ παντελῶς χρόνον λυσίας ἐπίτρο-
tor regis, & cognatus & super nego-
πος τοῦ βασιλέως καὶ συγγενὴς καὶ ἐπὶ τῶν πραγμά-
tia valde grauiter ferens ob ea quæ facta sunt, Con-
των, λίαν βαρέως φέρων ἐπὶ τοῖς γεγονόσι, συν- 2
gregans circa octo decem millia, & equitatum om-
αθροίσας περὶ τὰς ὀκτὼ μυριάδας καὶ τὴν ἵππον πᾶ-
nem, venit aduersum Iudæos, existimans quidem
σαν, παρεγίνετο ἐπὶ τοὺς ἰουδαίους, λογιζόμενος τὴν μὲν
ciuitatẽ Græcis habitaculum facturum: At templũ in pecu-
πόλιν ἕλλησιν οἰκητήριον ποιήσειν, τὸ δὲ ἱερὸν ἀργυ- 3
niæ quæstum sicut cætera gentium delubra: vena-
ρολόγητον καθὼς τὰ λοιπὰ τῶν ἐθνῶν τεμένη, πρα-
le autẽ singulis annis summum sacerdotium facturum. Nequa-
τὴν δὲ κατ' ἔτος τὴν ἀρχιερωσύνην ποιήσειν. οὐδα- 4
quam considerans Dei potestatem: extrà mentẽ factus
μῶς ἐπιλογιζόμενος τὸ τοῦ θεοῦ κράτος, πεφρενωμένος
autẽ decem milliaris peditum, & millibus equitum,
δὲ ταῖς μυριάσι τῶν πεζῶν καὶ ταῖς χιλιάσι τῶν ἱππέων
& elephantis octoginta. Ingressus in
καὶ τοῖς ἐλέφασι τοῖς ὀγδοήκοντα. εἰσελθὼν εἰς τὴν 5
Iudæam, & appropinquans Bethsuræ, quæ erat quidẽ forte
ἰουδαίαν καὶ συνεγγίσας τῷ βαιθσούρῳ, ὄντι μὲν ἐρυμνῷ
castellum, distabat autẽ à Hierosolymis quasi stadia quinque
χωρίῳ, ἀπέχοντι δὲ ἱεροσολύμων ὡσεὶ σταδίους πέντε,
hoc afflixit. Vt autẽ cognouerunt qui circa Mac-
τοῦτο ἔθλιβεν. ὡς δὲ μετέλαβον οἱ περὶ τὸν μακ- 6
cabæum obsidere sua præsidia, cum
καβαῖον πολιορκοῦντα αὐτὸν τὰ ὀχυρώματα, μετ'
suspiriis & lachrymis supplicabant cum turbis Do-
ὀδυρμῶν καὶ δακρύων ἱκέτευον σὺν τοῖς ὄχλοις τὸν κύ-
minũ, bonum angelum mittere ad liberationem
ριον, ἀγαθὸν ἄγγελον ἀποστεῖλαι πρὸς σωτηρίαν τῷ
Israel. Ipse autẽ primus Maccabæus assu-
ἰσραήλ. αὐτὸς δὲ πρῶτος ὁ μακκαβαῖος ἀναλα- 7
mens arma, cohortatus est alios, vt simul cũ ipso
βὼν τὰ ὅπλα προετρέπετο τοὺς ἄλλους, ἅμα αὐτῷ
periclitantes auxiliarentur fratribus suis.
διακινδυνεύοντας ἐπιβοηθεῖν τοῖς ἀδελφοῖς αὐτῶν.
Pariter autẽ & promptè irruerunt: ibidem autẽ circa
8 ὁμοῦ δὲ καὶ προθύμως ἐξώρμησαν. αὐτόθι δὲ πρὸς
Hierosolyma existẽtib. apparuit præcedens eos
τοῖς ἱεροσολύμοις ὄντων ἐφάνη προηγούμενος αὐτῶν
eques in alba veste armaturam auream vi-
ἔφιππος ἐν λευκῇ ἐσθῆτι πανοπλίαν χρυσῆν κρα-
brans. Simul autẽ omnes benedixerunt misericordẽ
9 δαίνων. ὁμοῦ δὲ πάντες εὐλόγησαν τὸν ἐλεήμονα
Deum: & conualuerunt animis, non solum homi-
θεόν, καὶ ἐπερρώσθησαν ταῖς ψυχαῖς οὐ μόνον ἀνθρώ-
nes, bestias quinetiã ferocissimas & ferreos muros
πους, θῆρας δὲ τοὺς ἀγριωτάτους καὶ σιδηρᾶ τείχη
ferire existẽtes parati. Ibant in dispositione
10 τιτρώσκειν ὄντες ἕτοιμοι. προῆγον ἐν διασκευῇ τὸν
à cœlo adiutorem habentes miserante illorum
ἀπ' οὐρανοῦ σύμμαχον ἔχοντες, ἐλεήσαντος αὐτοὺς τοῦ
Domino. Mo leonũ autẽ irruentes in ho-
11 κυρίου. λεοντηδὸν δὲ ἐντινάξαντες εἰς τοὺς πολε-
stes prostrauerunt ex eis mille supra decẽ millia,
μίους κατέστρωσαν αὐτῶν χιλίους πρὸς τοῖς μυρίοις,
equites autẽ sexcentos supra mille. At vni-
12 ἱππεῖς δὲ ἑξακοσίους πρὸς τοῖς χιλίοις. τοὺς δὲ πάν-
uersos coegerunt fugere: plures autẽ eorum vulne-
τας ἠνάγκασαν φυγεῖν. οἱ πλείονες δὲ αὐτῶν τραυ-
rati, nudi euaserunt: & ipse autẽ Lysias tur-
ματίαι, γυμνοὶ διεσώθησαν. καὶ αὐτὸς δὲ ὁ λυσίας αἰ-
piter fugiens liberatus est. Non insensatus autẽ existens
13 σχρῶς φεύγων διεσώθη. οὐκ ἄνους δὲ ὑπάρχων
intra se reputans factam circa se dimi-
πρὸς ἑαυτὸν ἀντιβάλλων τὸ γεγονὸς περὶ αὐτὸν ἐλάσ-
nutionem, & intelligens inuictos esse Hebræos
14 σωμα, καὶ συννοήσας ἀνικήτους εἶναι τοὺς ἑβραίους, τοῦ
omnipotente Deo auxiliante eis, mit-
παντοδυνάμου θεοῦ συμμαχοῦντος αὐτοῖς, προσα-
tens, persuasit consentire in omnib. iu-
ποστείλας, ἔπεισε συλλύεσθαι ἐπὶ πᾶσι τοῖς δι-
stis: & ob ea rẽ & regem persuasurũ amicum eis
καίοις, καὶ διὰ καὶ τὸν βασιλέα πείσειν φίλον αὐτοῖς
cogere esse. Annuit autẽ Maccabæus in
15 ἀναγκάζειν γενέσθαι. ἐπένευσε δὲ ὁ μακκαβαῖος ἐπὶ
omnibus quib. Lysias hortabatur vtilitatis curam ha-
πᾶσιν οἷς ὁ λυσίας παρεκάλει, τοῦ συμφέροντος φρον-
bens: quæcũq. enim Maccabæus tradidit Lysiæ per
τίζων. ὅσα γὰρ ὁ μακκαβαῖος ἐπέδωκε τῷ λυσίᾳ διὰ
scripta de Iudæis, concessit rex.
γραπτῶν περὶ τῶν ἰουδαίων, συνεχώρησεν ὁ βασιλεύς.
Fuerũt enim scriptæ Iudæis epistolæ,
16 ἦσαν γὰρ αἱ γεγραμμέναι τοῖς ἰουδαίοις ἐπιστολαί,
à quidem Lysia continentes modum hunc: LYSIAS
παρὰ μὲν λυσίου περιέχουσαι τὸν τρόπον τοῦτον. Λυσίας
multitudini Iudæorum gaudere. Ioannes & Abesalom
17 τῷ πλήθει τῶν ἰουδαίων χαίρειν. ἰωάννης καὶ ἀβεσαλὼμ
missi à vobis tradentes subscri-
οἱ πεμφθέντες παρ' ὑμῶν ἐπιδόντες τὸν ὑπογεγραμ-
ptum responsum, rogabant pro iis quæ per illud significa-
μένον χρηματισμόν, ἠξίουν περὶ τῶν δι' αὐτοῦ σημαινο-
bantur. Quæcũq. igitur oportebat regi perferri
18 μένων. ὅσα μὲν οὖν ἔδει τῷ βασιλεῖ προσενεχθῆναι
significaui: quæ autẽ fuerũt possibilia concessit. Si
19 διεσάφησα, ἃ δὲ ἦν ἐνδεχόμενα συνεχώρησεν. ἐὰν
igitur seruaueritis ad negotia bene-
οὖν συντηρήσητε τὴν εἰς τὰ πράγματα εὔ-
uolẽtiã, & in reliquum tentabo causa bonorum
νοιαν, καὶ εἰς τὸ λοιπὸν πειράσομαι παραίτιος ἀγαθῶν
esse. Pro autẽ his quæ secũdũ partẽ iuni
γενέσθαι. ὑπὲρ δὲ τῶν κατὰ μέρος ἐντέταλμαι

hisque & qui sunt à me, colloqui vobiscum. Va-
τούτοις τε καὶ τοῖς παρ' ἐμοῦ, διαλεχθῆναι ὑμῖν. ἔρ-
lete: anno centesimo quadragesimo octauo, Iouis Co-
ρωσθε· ἔτους ἑκατοστοῦ τεσσαρακοστοῦ ὀγδόου, διὸς κο-
rinthij vicesima quarta. At regis epistola
ρινθίου εἰκάδι τετάρτῃ. ἡ δὲ τοῦ βασιλέως ἐπιστολὴ 22
continebat sic: Rex Antiochus fratri Ly-
περιεῖχεν οὕτως· Βασιλεὺς Ἀντίοχος τῷ ἀδελφῷ Λυ-
siæ gaudere. Patre nostro in deos translato,
σίᾳ χαίρειν. τοῦ πατρὸς ἡμῶν εἰς θεοὺς μεταστάντος, 23
volentes eos qui ex regno sine tumultu sunt,
βουλόμενοι τοὺς ἐκ τῆς βασιλείας ἀταράχους ὄντας
esse ad propriorũ curam: Audientes
γίνεσθαι πρὸς τὴν τῶν ἰδίων ἐπιμέλειαν, ἀκηκοότες 24
Iudæos non consentientes patris in
τοὺς Ἰουδαίους μὴ συνευδοκοῦντας τῇ τοῦ πατρὸς ἐπὶ
Græca translationi, sed suum morem
τὰ Ἑλληνικὰ μεταθέσει, ἀλλὰ τὴν ἑαυτῶν ἀγωγὴν
tenere, postulantes concedi sibi le-
αἱρετίζοντας ἀξιοῦντας συγχωρηθῆναι αὐτοῖς τὰ νό-
gitima. Volentes igitur & hanc gentem extra turba-
μιμα. αἱρούμενοι οὖν καὶ τοῦτο τὸ ἔθνος ἐκτὸς ταρα- 25
tionem esse, iudicamus & templum ipsis restitui,
χῆς εἶναι, κρίνομεν, τό τε ἱερὸν αὐτοῖς ἀποκατασταθῆ-
& vt viuant, secundum eos qui sub maioribus suis
ναι, καὶ πολιτεύεσθαι κατὰ τὰ ἐπὶ τῶν προγόνων αὐτῶν
mores. Bene igitur facies mittens ad eos
ἔθη. εὖ οὖν ποιήσεις διαπεμψάμενος πρὸς αὐ- 26
& dans dextras: vt cognoscentes nostram volun-
τοὺς καὶ δοὺς δεξιάς· ὅπως εἰδότες τὴν ἡμετέραν προ-
tatem, bono animo sint, & libenter versentur ad
αίρεσιν, εὔθυμοί τε ὦσι, καὶ ἡδέως διαγίνωνται πρὸς τῇ
propriorum procurationem. Ad vero gentem re-
τῶν ἰδίων ἀντιλήψει. πρὸς δὲ τὸ ἔθνος ἡ τοῦ βασι- 27
gis epistola talis erat: Rex Antiochus
λέως ἐπιστολὴ τοιαύτη ἦν· Βασιλεὺς Ἀντίοχος τῇ
senatui Iudæorum & aliis Iudæis gaudere. Si
γερουσίᾳ τῶν Ἰουδαίων καὶ τοῖς ἄλλοις Ἰουδαίοις χαίρειν. εἰ 28
valetis, erit vt volumus: & ipsi autem valemus.
ἔρρωσθε, εἴη ἂν ὡς βουλόμεθα· καὶ αὐτοὶ δὲ ὑγιαίνομεν.
Significauit nobis Menelaus velle descenden-
ἐνεφάνισεν ἡμῖν ὁ Μενέλαος βούλεσθαι κατελθόν- 29
tes vos venire ad proprios. Descen-
τας ὑμᾶς γίνεσθαι πρὸς τοῖς ἰδίοις. τοῖς καταπο- 30
dentibus itaque vsque ad tricesimam diem Xanthici erit
ρευομένοις οὖν μέχρι τριακάδος Ξανθικοῦ ὑπάρ-
dextra cum securitate: Vt vtantur Iudæi
ξει δεξιὰ μετὰ τῆς ἀδείας· χρῆσθαι τοὺς Ἰουδαίους 31
suis sumptibus & legibus, sicut & pri-
τοῖς ἑαυτῶν δαπανήμασι καὶ νόμοις καθὰ καὶ τὸ πρότε-
us: & nemo eorum secundum vllum modum molestiam patietur
ρον· καὶ οὐδεὶς αὐτῶν κατ' οὐδένα τρόπον παρενοχληθήσεται
de his quæ ignorata fuerint. Misi autem & Menelaum
περὶ τῶν ἠγνοημένων. πέπομφα δὲ καὶ τὸν Μενέλαον 32
hortaturum vos. Valete: anno centesimo
παρακαλέσοντα ὑμᾶς. ἔρρωσθε· ἔτους ἑκατοστοῦ 33
quadragesimo octauo, Xanthici quinta decima.
τεσσαρακοστοῦ ὀγδόου, Ξανθικοῦ πεντεκαιδεκάτῃ.
Miserunt autem & Romani ad eos epistolam
ἔπεμψαν δὲ καὶ οἱ Ῥωμαῖοι πρὸς αὐτοὺς ἐπιστολὴν 34
habentem sic: QVINTVS Memmius, Titus Manlius, le-
ἔχουσαν οὕτως· Κόιντος Μέμμιος, Τίτος Μάνλιος, πρεσ-
gati Romanorum, populo Iudæorum gaudere. De
βῦται Ῥωμαίων, τῷ δήμῳ τῶν Ἰουδαίων χαίρειν. ὑπὲρ 35
his quæ Lysias cognatus regis concessit vo-
ὧν Λυσίας ὁ συγγενὴς τοῦ βασιλέως συνεχώρησεν ὑ-
bis, & nos consentimus. Quæ autem iudicauit refe-
μῖν, καὶ ἡμεῖς συνευδοκοῦμεν. ἃ δὲ ἔκρινε προσανε- 36
renda esse regi, mittite aliquem confestim
νεχθῆναι τῷ βασιλεῖ, πέμψατέ τινα παραχρῆμα
consideratarum de his, vt exponamus sicut congruit
ἐπισκεψάμενοι περὶ τούτων ἵνα ἐκθῶμεν ὡς καθήκει
vobis: nos enim accedimus ad Antiochiam. Idcóque
ὑμῖν· ἡμεῖς γὰρ προσάγομεν πρὸς Ἀντιόχειαν. διὸ 37
festinate, & mittite aliquos, vt & nos cogno-
σπεύσατε καὶ πέμψατέ τινας ὅπως καὶ ἡμεῖς ἐπιγνῶ-
scam. s cuius estis sententiæ. Valete: anno centesimo
μεν ὁποίας ἐστὲ γνώμης. ὑγιαίνετε· ἔτους ἑκατοστοῦ 38
quadragesimo octauo, Xanthici quinta & decima.
τεσσαρακοστοῦ ὀγδόου Ξανθικοῦ πεντεκαιδεκάτῃ.

CAP. XII. β'.

Factis autem pactionibus his, ipse quidem Ly-
Γενομένων δὲ τῶν συνθηκῶν τούτων, ὁ μὲν Λυ- 1
sias pergebat ad regem: at Iudæi circa
σίας ἀπῄει πρὸς τὸν βασιλέα· οἱ δὲ Ἰουδαῖοι περὶ τὴν
agriculturam versabantur. Eorum autem qui in locis ducum Ti-
γεωργίαν ἐγίνοντο. τῶν δὲ κατὰ τόπον στρατηγῶν Τι- 2
motheus & Apollonius (filius) Gennæi, item autem Hieronymus
μόθεος καὶ Ἀπολλώνιος ὁ τοῦ Γενναίου, ἔτι δὲ ὁ Ἱερώνυμος
& Demophon, vltra autem hos Nicanor Cypriarches,
καὶ Δημοφῶν, πρὸς δὲ τούτοις Νικάνωρ ὁ Κυπριάρχης,
non sinebant eos quiescere & silentium agere.
οὐκ εἴων αὐτοὺς εὐσταθεῖν καὶ τὰ τῆς ἡσυχίας ἄγειν.
Ioppitæ autem tale perpetrauerant flagitium,
Ἰοππῖται δὲ τηλικοῦτον συνετελέσαντο δυσσέβημα, 3
rogantes eos qui cum ipsis habitabant Iudæos,
παρακαλέσαντες τοὺς σὺν αὐτοῖς οἰκοῦντας Ἰουδαίους
vt ascenderent in paratas ab ipsis scaphas
ἐμβῆναι εἰς τὰ παρασταθέντα ὑπ' αὐτῶν σκάφη
cum vxoribus & filiis quasi nulla stante cum
σὺν γυναιξὶ καὶ τέκνοις ὡς μηδεμιᾶς ἐνεστώσης πρὸς
eis inimicitia. Secundum autem commune ciuitatis de-
αὐτοὺς δυσμενείας. κατὰ δὲ τὸ κοινὸν τῆς πόλεως ψή- 4
cretum, & his acquiescentibus tanquam pacem agere
φισμα, καὶ τούτων ἐπιδεξαμένων ὡς ἂν εἰρηνεύειν
volentibus, & nihil suspectum habentibus, in altum ductos
θελόντων καὶ μηδὲν ὕποπτον ἐχόντων, ἐπαναχθέντας
eos submerserunt, cùm essent nõ minus ducentis.
αὐτοὺς ἐβύθισαν, ὄντας οὐκ ἔλαττον τῶν διακοσίων.
Cognoscens autem Iudas factam in suam
μεταλαβὼν δὲ Ἰούδας τὴν γεγενημένην εἰς τοὺς ὁμοε- 5
gentem crudelitatem, præcipiens his qui circa se homini-
θνεῖς ὠμότητα, παραγγείλας τοῖς περὶ αὐτὸν ἀνδρά-
bus, Et inuocans iustum iudicem Deum, ve-
σι, καὶ ἐπικαλεσάμενος τὸν δίκαιον κριτὴν θεόν, παρα- 6
niens aduersus homicidas fratrum, quidem
γενόμενος ἐπὶ τοὺς μιαιφόνους τῶν ἀδελφῶν, τὸν μὲν
portum noctu succendit, & scaphas combussit,
λιμένα νύκτωρ ἐνέπρησε, καὶ τὰ σκάφη κατέφλεξε,
eos autem qui illuc confugerunt, transfodit. Ipsa autem vil-
τοὺς δὲ ἐκεῖ συμφυγόντας ἐξεκέντησε. τοῦ δὲ χω- 7
la conclusa, recessit quasi iterum venturus, & valuer-
ρίου συγκλεισθέντος, ἀνέζευξεν ὡς πάλιν ἥξων καὶ τὸ σύμ-
sam Ioppitarum eradicaturus gentem. Cùm
παν τῶν Ἰοππιτῶν ἐκριζῶσαι πολίτευμα. μετα-
cognouisset autẽ & eos qui in Iamnia eodem facere vo-
λαβὼν δὲ καὶ τοὺς ἐν Ἰαμνείᾳ τὸν αὐτὸν ἐπιτελεῖν βου- 8
lentes modo habitantibus apud Iudæos, Et Iam-
λομένους τρόπον τοῖς παροικοῦσιν Ἰουδαίοις, καὶ τοῖς Ἰαμ- 9
nitis nocte superueniens, succendit portum cum
νείταις νυκτὸς ἐπιβαλὼν, ὑφῆψε τὸν λιμένα σὺν τῷ
nauibus, ita vt apparerent splendores ignis in
στόλῳ ὥστε φαίνεσθαι τὰς αὐγὰς τοῦ φέγγους εἰς τὰ
Hierosolymis, stadia cùm essent ducenta quadragin-
Ἱεροσόλυμα σταδίων ὄντων διακοσίων τεσσαράκον-
ta. Inde autem abeuntes stadiis nouem, facien-
τα. ἐκεῖθεν δὲ ἀποσπάσαντες σταδίους ἐννέα, ποιου- 10
tibus iter contra Timotheum, superuenerunt
μένων τὴν πορείαν ἐπὶ τὸν Τιμόθεον, προσέβαλον

ἄραβες

Arabes in eum non pauciores quinque millibus: equites
ἄραβες αὐτῷ οὐκ ἐλάττους τῶν πεντακισχιλίων, ἱππεῖς
autem quingenti: Facta autem valida pugna
δὲ πεντακόσιοι. [11] γινομένης δὲ καρτερᾶς μάχης
& his qui circa Iudam ob id quod à Deo auxilium
καὶ τῶν περὶ τὸν ἰούδαν διὰ τὴν παρὰ τοῦ θεοῦ βοήθειαν
prosperatis: victi pastorales Arabes
εὐημερησάντων, ἡττηθέντες οἱ νομάδες ἄραβες
petebant dare Iudam dextram eis; promittentes
ἠξίουν δοῦναι τὸν ἰούδαν δεξιὰς αὐτοῖς, ὑπισχνούμενοι
& pascua daturos & in cæteris profuturos
καὶ βοσκήματα δώσειν καὶ ἐν τοῖς λοιποῖς ὠφελήσειν
eis. Iudas autē arbitratus quā verè in mul-
αὐτούς. [12] ἰούδας δὲ ὑπολαβὼν ὡς ἀληθῶς ἐν πολ-
tis eos vtiles, concessit pacem acturum erga
λοῖς αὐτοὺς χρησίμους, ἐπεχώρησεν εἰρήνην ἄξειν πρὸς
eos: & accipientes dextras in tabernacula discesse-
αὐτούς. καὶ λαβόντες δεξιὰς, εἰς τὰς σκηνὰς ἐχωρίσθη-
runt. Aggressus est autē & in quādā ciuitatē ponte munitam
σαν. [13] ἐπέβαλε δὲ καὶ ἐπί τινα πόλιν γεφυροῦν ὀχυρὰν
& muris circumseptam & mixtis gentibus
καὶ τείχεσι περιπεφραγμένην καὶ παμμιγέσιν ἔθνεσι
habitatam, nomen autē Caspin. Qui verò intus
κατοικουμένην, ὄνομα δὲ κάσπιν. [14] οἱ δὲ ἔνδον πε-
confisi in murorum stabilitate, & alimo-
ποιθότες τῇ τῶν τειχέων ἐρυμνότητι, τῇ τε τῶν βρω-
niarum apparatu remissiùs vtebantur:
μάτων παραθέσει, ἀναγωγότερον ἐχρῶντο, τοῖς περὶ
Iudam conuitiis lacessentes & adhuc blasphemantes:
τὸν ἰούδαν λοιδοροῦντες καὶ προσέτι βλασφημοῦντες
& loquentes quæ non fas. Qui autē circa Iudam in-
καὶ λαλοῦντες ἃ μὴ θέμις. [15] οἱ δὲ περὶ τὸν ἰούδαν ἐπι-
uocantes magnum mundi principem, qui sine
καλεσάμενοι τὸν μέγαν τοῦ κόσμου δυνάστην, τὸν ἄτερ
arietibus & machinis instrumentalib. præcipitauit
κριῶν καὶ μηχανῶν ὀργανικῶν κατακρημνίσαντα τὴν
Hiericho in Iesu tēporibus, irruerunt ferociter
ἱεριχὼ κατὰ τοὺς ἰησοῦ χρόνους, ἐνέσεισαν θηριωδῶς τῷ
in murū. Capientesque ciuitatē Dei
τείχει. [16] καταλαβόμενοί τε τὴν πόλιν τῇ τοῦ θεοῦ
voluntate, ineffabiles fecerunt cædes; ita vt
θελήσει, ἀμυθήτους ἐποιήσαντο σφαγάς. ὥστε τὴν
adiacens stagnum in latitudine habens stadia
παρακειμένην λίμνην τὸ πλάτος ἔχουσαν σταδίους
duo fluens sanguine impletum videretur.
δύο καταρρυτὸν αἵματι πεπληρωμένην φαίνεσθαι.
Inde autē discedentes per stadia septingenta
[17] ἐκεῖθεν δὲ ἀποσπάσαντες σταδίους ἑπτακοσίους
quinquaginta transierunt in Characa ad eos qui di-
πεντήκοντα διήνυσαν εἰς τὸν χάρακα πρὸς τοὺς λεγο-
cuntur Tubiæni Iudæi. Et Timotheum quidē in
μένους τουβιανοὺς ἰουδαίους. [18] καὶ τιμόθεον μὲν ἐπὶ
locis nō comprehenderunt infecto negotio tunc à
τῶν τόπων οὐ κατέλαβον ἄπρακτον τότε ἀπὸ τῶν
locis regressum. relinquentem autē præsidium in
τόπων ἐκλελυκότα, καταλελοιπότα δὲ φρουρὰν ἐν
quodam loco & valde aggressum, Dositheus autē & Sosi-
τινι τόπῳ καὶ μάλα ὀχυράν. [19] δοσίθεος δὲ καὶ σωσί-
pater ex his qui circa Machabæum ducibus, exeun-
πατρος τῶν περὶ τὸν μακκαβαῖον ἡγεμόνων, ἐξοδεύ-
tes, peremerunt à Timotheo reli-
σαντες, ἀπώλεσαν τοὺς ὑπὸ τιμοθέου καταλειφθέν-
ctos in præsidio plures decē mille viris.
τας ἐν τῷ ὀχυρώματι πλείους τῶν μυρίων ἀνδρῶν.
At Machabæus ordinans suum exercitum
[20] ὁ δὲ μακκαβαῖος διατάξας τὴν ἑαυτοῦ στρατιὰν
per cohortes constituit eos in turmas, & in
σπειρηδὸν κατέστησεν αὐτοὺς ἐπὶ τῶν σπειρῶν. καὶ ἐπὶ
Timotheū impetum fecit, habentē circa se decē millia
τὸν τιμόθεον ὥρμησεν ἔχοντα περὶ αὐτὸν μυριάδας

duodecim peditum, equites autē duo mille supra quin-
δώδεκα πεζῶν, ἱππεῖς δὲ δισχιλίους πρὸς τοῖς πεν-
gentos. Aduentum cognoscens Iudæ, præ-
τακοσίοις. [21] τὴν δὲ ἔφοδον μεταλαβὼν ἰούδου, προεξ-
misit Timotheus vxores, & filios
εξαπέστειλεν ὁ τιμόθεος τὰς γυναῖκας καὶ τὰ τέκνα
& reliquū apparatum ad id quod dicitur Carnion.
καὶ τὴν ἄλλην ἀποσκευὴν εἰς τὸ λεγόμενον καρνίον.
erat enim difficile obsessu, & accessu difficile castellū
ἦν γὰρ δυσπολιόρκητον καὶ δυσπρόσιτον τὸ χωρίον
ob omnium locorum angustiam. Cum apparuis-
[22] διὰ τὴν πάντων τῶν τόπων στενότητα. ἐπιφανεί-
set autē Iudæ cohors prima, & facto timore
σης δὲ τῆς ἰούδου σπείρας πρώτης, καὶ γινομένου δέους
in hostes, trepidationeq. ex illius qui vniuersa vi-
ἐπὶ τοὺς πολεμίους φόβου τε ἐκ τῆς τοῦ τὰ πάντα ἐφορῶν-
det apparentia facta super ipsos, in fugam ver-
τος ἐπιφανείας γινομένου ἐπ' αὐτοὺς, εἰς φυγὴν ὥρ-
si sunt, alius aliò latus: ita vt sæpe
μησαν, ἄλλος ἀλλαχῆ φερόμενος· ὥστε πολλάκις
à propriis læderentur, & gladiorum mucronib.
ὑπὸ τῶν ἰδίων βλάπτεσθαι, καὶ ταῖς τῶν ξιφῶν ἀκμαῖς
transfigerentur. Faciebat autē persecutionē intensiorem
[23] ἀναπείρεσθαι. ἐποιεῖτο δὲ τὸν διωγμὸν εὐτονώτερον
Iudas stimulans prophanos: occiditque ad
ἰούδας συγκεντῶν τοὺς ἀλιτηρίους· διέφθειρέ τε εἰς
decem milliaria tria virorum. Ipse autē Timotheus inci-
[24] μυριάδας τρεῖς ἀνδρῶν. αὐτὸς δὲ ὁ τιμόθεος ἐμπε-
dens in eos qui circa Dositheum & Sosipatrem: postulabat cum
σὼν τοῖς περὶ τὸν δοσίθεον καὶ σωσίπατρον, ἠξίου μετὰ
multis adulationibus vt dimitterent viuum [illegible]: eò quod
πολλῆς γοητείας ἐξαφεῖναι ζῶντα αὐτὸν, διὰ τὸ
plurium quidē parentes aliorū autē fratres haberet, & hos
πλειόνων μὲν γονεῖς, ὧν δὲ ἀδελφοὺς ἔχειν, καὶ τούτους
decipi continuet. Cum firmasset autē ipse per
[25] ἀλογηθῆναι συμβήσεται. πιστώσαντος δὲ αὐτοῦ διὰ
plura definitionē restituturum hos il-
πλειόνων τὸν ὁρισμὸν ἀποκαταστῆσαι τούτους ἀπη-
læsos dimiserunt eum propter fratrum sa-
μάντους, ἀπέλυσαν αὐτὸν ἕνεκα τῆς τῶν ἀδελφῶν σω-
lutem. Egrediens autē in Cornion & Atergæ-
[26] τηρίας. ἐξελθὼν δὲ ἐπὶ τὸ καρνίον καὶ τὸ ἀτεργα-
teum, iugulauit decem milliaria corporum duo &
τεῖον, κατέσφαξε μυριάδας σωμάτων δύο καὶ
quinque millia. Post autē horum fugam &
[27] πεντακισχιλίους. μετὰ δὲ τὴν τούτων τροπὴν καὶ
perditionem exercitum mouit & contra Ephron ciuitatē munitam,
ἀπώλειαν ἐπεστράτευσε καὶ ἐπὶ ἐφρὼν πόλιν ὀχυράν,
in qua omnigenæ in ipsa multitudines habitabant: iuuenes
ἐν ᾗ πάμφυλα ἐν αὐτῇ πλήθη κατῴκει· νεανίαι
autē robusti ante muros consistentes fortiter
δὲ ῥωμαλέοι πρὸ τῶν τειχέων καθεστῶτες εὐρώστως
repugnabant: hic instrumētorū & telorū multi appa-
ἀπεμάχοντο· ἐνθάδε ὀργάνων καὶ βελῶν πολλαὶ παρα-
ratus erant. Inuocantes autē principem
[28] θέσεις ὑπῆρχον. ἐπικαλεσάμενοι δὲ τὸν δυνάστην
cum fortitudine confringentem hostium vi-
τὸν μετὰ κράτους συντρίβοντα τὰς τῶν πολεμίων ἀλ-
res, ceperunt ciuitatē subditam, prostrauerunt autē
κὰς, ἔλαβον τὴν πόλιν ὑποχείριον. κατέστρωσαν δὲ
ex his qui intus, in decē milliaria duo & quinque millia. Abeun-
[29] τῶν ἔνδον εἰς μυριάδας δύο καὶ πεντακισχιλίους. ἀνα-
tes autē inde, profecti sunt in Scytharum ciuitatē di-
ζεύξαντες δὲ ἐκεῖθεν, ὥρμησαν ἐπὶ σκυθῶν πόλιν ἀ-
stantem à Hierosolymis stadiis sexcentis. Te-
πέχουσαν ἀπὸ ἱεροσολύμων σταδίους ἑξακοσίους. [30] ἀπο-
stantibus autē qui illic erant Iudæis, quā
μαρτυρησάντων δὲ τῶν ἐκεῖ καθεστώτων ἰουδαίων, ἣν
Scythopolitæ habuerūt erga eos beneuolētiā & in
οἱ σκυθοπολῖται ἔσχον πρὸς αὐτοὺς εὔνοιαν, καὶ ἐν τοῖς

aduersitatis temporibus benignum occursum, gratias a-
τῆς ἀτυχίας καιροῖς ἥμερον ἀπάντησιν, εὐχαριστή-
gentes, at hortantes etiã in reliqua
σαντες, καὶ προσπαρακαλέσαντες καὶ εἰς τὰ λοιπὰ 31
erga genus benignos esse; venerunt in Hieroso-
πρὸς τὸ γένος εὐμενεῖς εἶναι, παρεγενήθησαν εἰς ἱεροσό-
lymam Hebdomadarum festo, existente propinquo.
λυμα τῆς τῶν ἑβδομάδων ἑορτῆς οὔσης ὑπογύου.

Post autẽ dictam Pentecosten, irruerunt
μετὰ δὲ τὴν λεγομένην πεντηκοστὴν, ὥρμησαν 32
contra Gorgiam Idumææ ducem. Exierunt
ἐπὶ γοργίαν τὸν τῆς ἰδουμαίας στρατηγόν. ἐξῆλθον 33
autẽ cum peditibus tribus millibus, equitibus autẽ quadringentis.
δὲ μετὰ πεζῶν τρισχιλίων, ἱππέων δὲ τετρακοσίων.
Contra hunc autẽ pugnantes contigit ca-
πρὸς τοῦτον δὲ παραταξαμένους συνέβη πε- 34
dere paucos, de Iudæis. Dositheus autẽ quidã de his qui
σεῖν ὀλίγους ἐκ τῶν ἰουδαίων. δωσίθεος δέ τις τῶν 35
Bacenoris eques vir & fortis apprehendit
βακήνορος ἔφιππος ἀνὴρ καὶ καρτερὸς εἴχετο τοῦ
Gorgiam: & tenens chlamyde, duxit eum for-
γοργίου, καὶ λαβόμενος τῆς χλαμύδος, ἦγεν αὐτὸν εὐρώ-
titer, & cùm vellet scelestum capere viuum,
στως· καὶ βουλόμενος τὸν κατάρατον λαβεῖν ζωγρίαν,
equitum quodã Thracensium, inuecto in eum &
τῶν ἱππέων τινὸς θρακῶν ἐπενεχθέντος αὐτῷ καὶ τὸν
humerũ amputante, fugit Gorgias in Marisa. His
ὦμον καθελόντος, διέφυγε γοργίας εἰς μαρισά. τῶν 36
autem qui circa Hesdrin diutius pugnantibus & fatiga-
δὲ περὶ τὸν ἔσδριν ἐπὶ πλεῖον μαχομένων, καὶ κατα-
tis existẽtibus, inuocans Iudas Dominũ
κόπων ὄντων, ἐπικαλεσάμενος ὁ ἰούδας τὸν κύριον
adiutorem apparere & ducem belli, in-
σύμμαχον φανῆναι καὶ προδηγὸν τοῦ πολέμου, κα- 37
cipiens patria voce cum hymnis clamo-
ταρξάμενος τῇ πατρίῳ φωνῇ τὴν μεθ' ὕμνων κραυ-
rem, aggressus insperatè eos qui circa Gorgiam,
γὴν, ἐνσείσας ἀπροσδοκήτως τοῖς περὶ τὸν γοργίαν,
fugam eorum fecit. Iudas autẽ colligens
τροπὴν αὐτῶν ἐποιήσατο. ἰούδας δὲ ἀναλαβὼν τὸ 38
exercitum, venit in Odollam ciuitatẽ. at septima die
στράτευμα, ἧκεν εἰς ὀδολλὰμ πόλιν· τῆς δὲ ἑβδομάδος
superueniente, secundùm consuetudinẽ purificari ibidem
ἐπιβαλλούσης, κατὰ τὸν ἐθισμὸν ἁγνισθέντες αὐτόθι τὸ
sabbatum egerunt. At sequenti venerunt qui circa
σάββατον διήγαγον. τῇ δὲ ἐχομένῃ ἦλθον οἱ περὶ 39
Iudam quo tempore necessitas fuit, cor-
τὸν ἰούδαν καθ' ὃν χρόνον τὸ τῆς χρείας ἐγεγόνει, τὰ σώ-
pora prostratorum tollere; & cum
ματα τῶν προπεπτωκότων ἀνακομίσασθαι· καὶ μετὰ
cognatis reponere in paternis se-
τῶν συγγενῶν ἀποκαταστῆσαι εἰς τοὺς πατρῴους τά-
pulchris. Inuenerũt autẽ vniuscuiusq. mortuorum sub tu-
φους. εὗρον δὲ ἑκάστου τῶν τεθνηκότων ὑπὸ τοὺς χι- 40
nicis sacra eorũ quæ de Iamneia idolorum, à quib.
τῶνας ἱερώματα τῶν ἀπὸ ἰαμνείας εἰδώλων, ἀφ' ὧν
lex prohibet Iudæos: at omnib. manifestũ
ὁ νόμος ἀπείργει τοὺς ἰουδαίους· τοῖς δὲ πᾶσι σαφὲς
fuit ob hanc causam hos corruisse.
ἐγένετο διὰ τήνδε τὴν αἰτίαν τούσδε πεπτωκέναι.

Omnes itaq. benedicentes opera iusti
πάντες οὖν εὐλογήσαντες τὰ τοῦ δικαιοκρίτου 41
Domini qui occulta manifesta facit: ad sup-
κυρίου τοῦ τὰ κεκρυμμένα φανερὰ ποιοῦντος, εἰς ἱκε-
plicationẽ cõuersi sũt, rogantes factum delictum
τείαν ἐτράπησαν, ἀξιώσαντες τὸ γεγονὸς ἁμάρτημα 42
omnino deleri: at generosus Iudas hortatus est
τελείως ἐξαλειφθῆναι· ὁ δὲ γενναῖος ἰούδας παρεκάλεσε
multitudine conseruare se sine peccato esse, sub
τὸ πλῆθος συντηρεῖν αὑτοὺς ἀναμαρτήτους εἶναι, ὑπ'
oculis videntes quæ facta erant ob prostrato-
ὄψιν ἑωρακότας τὰ γεγονότα διὰ τὴν τῶν προπεπτω-
rum peccatum. Faciens que præparatio-
κότων ἁμαρτίαν. ποιησάμενός τε κατασκευάσ- 43
nes secundũ virorũ collectionẽ ad argenti drachmas
ματα κατ' ἀνδραλογίαν εἰς ἀργυρίου δραχμὰς
duo mille, misit in Hierosolymam ad offerendum
δισχιλίας, ἀπέστειλεν εἰς ἱεροσόλυμα προσαγαγεῖν
pro peccato sacrificium, valde bene & vrbanè
περὶ ἁμαρτίας θυσίαν, πάνυ καλῶς καὶ ἀστείως
faciens, de resurrectione cogitans. Nisi
πράττων, ὑπὲρ ἀναστάσεως διαλογιζόμενος· εἰ μὴ 44
enim eos qui ceciderant resurrecturos sperasset, su-
γὰρ τοὺς προπεπτωκότας ἀναστῆναι προσεδόκα, πε-
perfluum & vacuum pro mortuis orare. Deinde con-
ρισσὸν καὶ ληρῶδες ὑπὲρ νεκρῶν εὔχεσθαι. εἶτ' ἐμ- 45
siderans qui cum pietate obdormierant optimam
βλέπων τοῖς μετ' εὐσεβείας κοιμωμένοις κάλλιστον
repositam gratiam: Sancta & pia cõsideratio:
ἀποκείμενον χαριστήριον, ὁσία καὶ εὐσεβὴς ἡ ἐπίνοια· 46
vnde pro mortuis propitiationem fecit,
ὅθεν περὶ τῶν τεθνηκότων τὸν ἐξιλασμὸν ἐποιήσατο,
vt à peccato soluerentur.
τῆς ἁμαρτίας ἀπολυθῆναι.

CAP. XIII. ιγ'.

